www.e-rara.ch

# Hērodotou Logoi ennea, hoiper epikalountai Mousai

## Herodotus

## Basileae, [1557]

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-104620

Geōrgiou Gemistou, Tou Kai Plēthōnos Ek Tōn Diodōrou Kai Ploutarchou [...] Biblion Prōton

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΓΕΩΡΓΙΟΥ ΓΕΜΙΣΤΟΥ, ΤΟΥ ΚΑΙ ΠΛΗΘΩΝΟΣ ΕΚ ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΚΑΙ ΠΛΟΥΤΑΡΧΟΥ,

περὶ τῶν μετὰ τὴν ἐν Μαντινείᾳ μάχην, ἐν κεφαλαίοις διάληψις.

## ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Μετὰ τὴν ἐν Μαντινείᾳ μάχην, ἐν ᾗ Ἐπαμεινώνδας ὁ Θηβαῖος βοιωταρχῶν τε καὶ τὴν μάχην ἐκείνην ἐστρατηγηκὼς ἐτελεύτησεν, οἱ μὲν Ἕλληνες κεκακωμένοι τῷ μήκει τῶν πολέμων, εἰρήνην πρὸς ἀλλήλους συνέθεντο, συμ- (M) περιλαμβάνοντες ταῖς κοιναῖς ὁμολογίαις καὶ Μεσσήνην. Λακεδαιμόνιοι δὲ οὐκ ἀνασχόμενοι καὶ πρὸς Μεσσηνίους εἰρήνην συνθέσθαι, ταύτης γε οὐ μετέσχον τῆς εἰρήνης, ἀλλὰ μόνοι δὲ Ἑλλήνων ἔκσπονδοι ἐλείφθησαν. μετὰ δὲ ταῦτα, οἱ τὴν παράλιον οἰκοῦντες τῆς Ἀσίας, ἀπέστησαν ἀπὸ Περσῶν, καὶ Ἀρταξέρξου τοῦ βασιλέως. καί τινες δὲ σὺν αὐτοῖς τῶν σατραπῶν ἐπαναστάντες, πόλεμον ἐξήνεγκαν πρὸς βασιλέα. ὧν ἦσαν ἐπιφανέστατοι, Ἀριοβαρζάνης μὲν ὁ τῆς Φρυγίας σατράπης, ὃς καὶ Μιθριδάτου τελευτήσαντος, τῆς τούτου βασιλείας κεκυριευκὼς ἦν. Μαύσωλος δὲ Καρίας δυναστεύων, καὶ πολλῶν ἐρυμάτων καὶ πόλεων ἀξιολόγων κυριεύων, ὧν ἑστίαν καὶ μητρόπολιν συνέβαινεν εἶναι τὴν Ἁλικαρνασσόν. πρὸς δὲ τούτοις, Ὀρόντης μὲν Μυσίας σατράπης, Αὐτοφραδάτης δὲ Λυδίας. ἀλλ' οὗτοι μὲν οἱ λόγου μάλιστα ἄξιοι, τῶν ἀποστάντων σατραπῶν. ἔθνη δὲ ἀπέστη, Ἴωνες, Λύκιοι, Πισίδαι, Παμφύλιοι, Κίλικες, Σύροι, Φοίνικες, καὶ σχεδὸν πάντες οἱ περὶ θάλατταν. Αἰγύπτιοι δὲ προαφεστηκότες ἦσαν ὑπὸ Ἀκώριδος. τότε δὲ Ταχὼς μὲν ἦρχε τῆς Αἰγύπτου. παρεσκευάζετο δὲ καὶ οὗτος δύναμιν καὶ ναυσὶ καὶ πεζῷ ἐπὶ τὸν πρὸς Πέρσας πόλεμον. τῶν μὲν οὖν ἄλλων ἀποστάντων, εὐθὺς πονήρως ἔσχε τὰ πράγματα. Ὀρόντης γὰρ ὁ Μυσίας σατράπης ἐπὶ τοῦ πολέμου ἡγεμονίαν ὑπὸ τῶν ἄλλων αἱρεθείς, καὶ χρήματα οὐκ ὀλίγα πρὸς ξενολογίαν παραλαβών, προδοὺς τὰ πράγματα, πρῶτον μὲν τοὺς τὰ χρήματα συλήσαντας συλλαβών, ἀνέπεμψε πρὸς βασιλέα. μετὰ δὲ ταῦτα τῶν τε πόλεων συχνάς, καὶ τοὺς ξενολογηθέντας στρατιώτας τοῖς ὑπὸ βασιλέως πεμφθεῖσιν ἡγεμόσιν ἐνεχείρισεν. ὁμοίως δὲ καὶ Ῥεωμίθρης ἐπ' Αἴγυπτον ὑπὸ τῶν ἀποστάντων πεμπόμενος, καὶ παραλαβὼν ναῦς τε μακρὰς πεντήκοντα, καὶ ἀργυρίου τάλαντα οὐκ ὀλίγα, καταπλεύσας τῆς Ἀσίας ἐς τὰς καλουμένας Λευκὰς πόλιν, κἀνταῦθα συχνοὺς τῶν ἀφεστηκότων ἡγεμόνων μεταπεμψάμενος, τούτους τε συλλαβὼν καὶ δήσας, ὡς βασιλέα Ἀρταξέρξην ἀνέπεμψε· καὶ αὐτὸς τῇ προδοσίᾳ τὰ πρὸς βασιλέα διελύσατο. ἦν γὰρ δὴ τῶν ἀποστάντων καὶ οὗτος γεγονώς. ὁ δ' Αἰγυπτίων βασιλεὺς Ταχώς, ἐς Λακεδαίμονα χρήματα πέμψας πρὸς ξενολογίαν, παρεκάλει καὶ τοὺς Λακεδαιμονίους συναίρεσθαί οἱ τοῦ πρὸς Πέρσας πολέμου, ὑπισχνούμενος καὶ αὐτὸς χρήμασιν αὐτοὺς ἐς τὸν οἴκοι πόλεμον ὠφελήσειν. Λακεδαιμόνιοι δὲ τὴν πρεσβείαν προσέμενοι, Ἀγησίλαον πέμπουσι τὸν βασιλέα σφῶν ἐπὶ τὴν βοήθειαν, προθύμως καὶ αὐτοῦ ταύτην ὑποστάντα τὴν λειτουργίαν, καίπερ ἐπ' ἐσχάτου ὄντα γήρως. οὐ γὰρ ὀλίγῳ πρεσβύτερος ἢ ὀγδοηκοντούτης ἦν, ἀλλ' ᾤετο δεῖν τοῖς Περσῶν βασιλέως πράγμασιν ἀπ' Αἰγύπτου ἐνοχλῶν, τῇ τῶν τὴν Ἀσίαν οἰκούντων Ἑλλήνων ἐλευθερίᾳ βοηθεῖν. ἣν ἡ μὲν ἐπ' Ἀνταλκίδου εἰρήνη, ἐξέδοτο βασιλεῖ, οὐ πάνυ τι αὐτῷ Ἀγησιλάῳ βουλομένῳ ὄν. τότε δ' ἀφεστηκότες ἦσαν. εὐθὺς οὖν ξενολογήσας τε Ἀγησίλαος ἀφ' ὧν ὁ Ταχὼς χρημάτων ἔπεμψε, καὶ πλοῖα πληρώσας, ἔπλει ἐπ' Αἰγύπτου, τριάκοντα ἔχων συμβούλους μεθ' ἑαυτοῦ Σπαρτιάτας. ὡς καὶ πρότερον, ὁπότε ἐς Ἰωνίαν τῆς Ἀσίας διέβη. ἐπεὶ δὲ ἀφίκετο παρὰ Ταχώ, οὐχ ὥσπερ ἤλπιζεν, ἁπάσης στρατηγὸς ἀπεδείχθη τῆς δυνάμεως, ἀλλὰ τῶν μισθοφόρων μόνων. τοῦ δὲ ναυτικοῦ, Χαβρίας Ἀθηναῖος, ἰδίᾳ κατ' αὐτόν, καὶ οὐκ ἀπὸ τῆς πόλεως ἀφιγμένος. ἡγεμὼν δὲ συμπάντων αὐτὸς ἦν ὁ Ταχώς. καὶ τοῦτο πρῶτον ἠνίασε τὸν Ἀγησίλαον· ἔπειτα καὶ τὴν ἄλλην ἀλαζονείαν τοῦ Αἰγυπτίου, καὶ κουφοφροσύνην βαρυνόμενος ἠναγκάζετο φέρειν. καὶ συνεξέπλευσεν ἐπὶ τοὺς Φοίνικας αὐτῷ παρὰ τὴν ἀξίαν τὴν ἑαυτοῦ, καὶ τὴν

φύσιν ὑπακούων, καὶ καρτερῶν, ἄχρις οὗ καιρὸν ἔλαβε. νεκτάναβις γὰρ ἀνεψιὸς ὢν τοῦ ταχὼ, καὶ μέρος ἔχων ἐφ᾽ ἑαυτῷ τῆς δυνάμεως, ἀπέστη. καὶ βασιλεὺς ὑπὸ τῶν αἰγυπτίων ἀναγορευθεὶς, διεπέμπετο πρὸς τὸν ἀγησίλαον, ἀξιῶν αὐτῷ βοηθεῖν. τὰ δ᾽ αὐτὰ καὶ τὸν χαβρίαν ἐδεῖτο, μεγάλας ὑπισχνούμενος ἀμφοτέροις δωρεάς. αἰσθομένου δὲ ταῦτα τοῦ ταχὼ, καὶ τραπομένου πρὸς δέησιν αὐτῶν, ὁ μὲν χαβρίας ἐπειρᾶτο τὴν δέησιν ἐν τῇ φιλίᾳ τοῦ ταχὼ, πείθων καὶ παραμυθούμενος κατέχειν. ὁ δ᾽ ἀγησίλαος εἶπεν, ὅτι σοὶ μὲν ὦ χαβρία, κατὰ σεαυτὸν ἀφιγμένῳ, χρῆσθαι τοῖς σεαυτοῦ λογισμοῖς ἔξεστιν. ἐγὼ δὲ ὑπὸ τῆς πατρίδος ἐδόθην τοῖς αἰγυπτίοις στρατηγός. οὔκουν ἂν ἔχοι μοι καλῶς, οἷς ἐπέμφθην σύμμαχος πολεμεῖν, ἐὰν μὴ ἡ πατρὶς πάλιν κελεύσῃ. ταῦτα δ᾽ εἰπὼν, ἐξέπεμψεν εἰς σπάρτην ἄνδρας, οἳ τοῦ μὲν ταχὼ κατηγορήσειν, ἐπαινέσεσθαι δὲ τὸν νεκτάναβιν ἔμελλον. ἔπεμψαν δὲ κἀκεῖνοι δεόμενοι τῶν λακεδαιμονίων, ὁ μὲν ὡς πάλαι σύμμαχος γεγονὼς, καὶ φίλος· ὁ δὲ, ὡς εὔνους καὶ προθυμότερος περὶ τὴν πόλιν ἐσόμενος. λακεδαιμόνιοι δὲ τοῖς μὲν αἰγυπτίοις ἀπεκρίναντο, ἀγησιλάῳ περὶ τούτων μελήσειν. ἐκείνῳ δὲ ἐπέσταλαν ὁρᾶν, ὅπως τὸ τῇ πόλει πράξει ξυμφέρον. οὕτω δὴ λαβὼν τοὺς μισθοφόρους ὁ ἀγησίλαος ἀπὸ τοῦ ταχὼ, μετέστη πρὸς νεκτάναβιν, ἐγκαλῶν ταχὼ ὅτι οὐκ ἀξίως αὐτῷ, οὔθ᾽ ἑαυτοῦ, οὔτε τῆς πόλεως ἐκέχρητο. ὁ μὲν οὖν ταχὼς ἐρημωθεὶς τῶν μισθοφόρων, ἔφυγεν ἐκ μέσου. μένδησις ἕτερος τῷ νεκτανάβιδι ἐπανίστατο, βασιλεὺς ἀναγορευθείς. καὶ συναγαγὼν δέκα μυριάδας ἀνθρώπων, ἐπῄει. ἔπεμπε δὲ πειρῶν καὶ τὸν ἀγησίλαον. ὁ μὲν οὖν νεκτάναβις ἔδεισε, καὶ κελεύοντος ἀγησιλάου διαμάχεσθαι τὴν ταχίστην, καὶ μὴ χρόνῳ πολεμεῖν πρὸς ἀνθρώπους ἀπείρους ἀγώνων· πολυχειρίᾳ δὲ ἐλθεῖν, καὶ περιταφρεῦσαι, καὶ φθάσαι, πολλὰ δυναμένους, ἔτι μᾶλλον ἐν ὑποψίᾳ καὶ φόβῳ γενόμενος, πρὸς αὐτὸν ἀπεχώρησε πρὸς πόλιν εὐερκῆ, καὶ μέγαν ἔχουσαν περίβολον. ὁ δὲ ἀγησίλαος ἠγανάκτει μὲν ἀπιστούμενος, καὶ βαρέως ἔφερεν. αἰσχυνόμενος δὲ πάλιν μεταστῆναι πρὸς τὸν ἕτερον, ἠκολούθησε, καὶ συνεισῆλθεν εἰς τὸ τεῖχος. ἐπελθόντων δὲ τῶν πολεμίων, καὶ περιταφρευόντων τὴν πόλιν, αὖθις αὖ δείσας τὴν πολιορκίαν ὁ νεκτάναβις, ἐβούλετο μάχεσθαι· καὶ τοὺς ἕλληνας συμπροθυμουμένους ἦγεν. οὐ γὰρ οὐδ᾽ ἦν ἐν τῷ χωρίῳ σῖτος. ὁ δὲ ἀγησίλαος οὐκ εἴων, ἀλλὰ κωλύων, ἤκουε μὲν ἤ τι μᾶλλον κακῶς, ἢ πρότερον ὑπὸ τῶν αἰγυπτίων προδότης ἀποκαλούμενος τοῦ βασιλέως, ἔφερέ γε μὴν τὰς διαβολὰς, καὶ προσεῖχε τῷ καιρῷ τοῦ στρατηγήματος· ἦν δὲ τοιόνδε. τάφρον ἔξωθεν ἀνῆγον οἱ πολέμιοι περὶ τὸ τεῖχος βαθεῖαν, ὡς παντάπασιν ἀποκλείσοντες αὐτούς. ὡς οὖν ἐγγὺς ἦσαν αἱ τελευταὶ τοῦ ὀρύγματος ἀπαντῶντος ἑαυτῷ, καὶ τὴν πόλιν ἐν κύκλῳ περιϊόντος, κελεύσας ἐξοπλίζεσθαι τοὺς ἕλληνας, ἔλεγεν ἐλθὼν πρὸς τὸν αἰγύπτιον. ὁ μὲν τῆς σωτηρίας ὦ νεανία καιρὸς, οὗτός ἐστιν. ὃν ἐγὼ διαφθεῖραι μὴ βουλόμενος, οὐ πρότερον προὐθυμούμην προελθεῖν. ἐπειδὴ ἡμῖν οἱ πολέμιοι τὴν ἀσφάλειαν αὐτοὶ διὰ τῶν χειρῶν παρεσκευάκασι, τοσαύτην ὀρυξάμενοι τάφρον, ἧς τὸ μὲν ἐξειργασμένον, ἐκείνων ἐμποδὼν ἔσται τῷ πλήθει, τὸ δὲ διαλεῖπον ἡμῖν δίδωσιν ἴσῳ καὶ δικαίῳ μέτρῳ πρὸς αὐτοὺς διαμάχεσθαι, φέρε νῦν προθυμηθεὶς ἀνὴρ ἀγαθὸς γενέσθαι, καὶ μεθ᾽ ἡμῶν συνεπόμενος δρόμῳ, σῶζε σεαυτόν τε ἅμα, καὶ τὴν στρατιάν. ἡμᾶς γὰρ οἱ μὲν κατὰ στόμα τῶν πολεμίων, οὐχ ὑπομενοῦσιν. οἱ δ᾽ ἄλλοι, διὰ τὴν τάφρον οὐ βλάψουσι. θαυμάσας οὖν τὸ ὁ νεκτάναβις τοῦ ἀγησιλάου τὴν δεινότητα, καὶ δοὺς ἑαυτὸν εἰς μέσα τὰ τῶν ἑλλήνων ὅπλα, καὶ προσπεσὼν, ἐτρέψατο ῥᾳδίως τοὺς ἀντιστάντας. ὡς δὲ ἅπαξ ἔλαβε πειθόμενόν οἱ τὸν αἰγύπτιον ὁ ἀγησίλαος, αὖθις ἐπῆγε τὸ αὐτὸ στρατήγημα, καθάπερ πάλαισμα τοῖς πολεμίοις. τὰ μὲν γὰρ ὑποφεύγων καὶ ὑπάγων, τὰ δὲ ἀντιπεριχωρῶν, ἐμβάλλει τὸ πλῆθος αὐτῶν εἴς τινα τόπον, ἔχοντα διώρυχα βαθεῖαν, ἐξ ἑκατέρας πλευρᾶς παραρρέουσαν. ὧν τὸ μέσον ἐμφράξας, καὶ καταλαβὼν τῷ μετώπῳ τῆς φάλαγγος, ἐξίσωσε τοὺς ἑαυτοῦ τοῖς μαχομένοις τῶν πολεμίων, οὐκ ἔχουσι περιδρομὴν τῷ πλήθει, οὐδὲ κύκλωσιν. ὅθεν οὐ πολὺν χρόνον ἀντιστάντες, ἐτράποντο. καὶ πολλοὶ μὲν ἀνῃρέθησαν. οἱ δὲ φεύγοντες, διεσκεδάσθησαν, καὶ διερρύησαν. ἐκ δὲ τούτου καλῶς μὲν εἶχε τῷ νεκτανάβιδι τὰ πράγματα, καὶ βεβαίως πρὸς ἀσφάλειαν. ὅ γε μὴν ἀγησίλαος, πρὸς τὸν οἴκοι ἤδη πόλεμον ὡρμημένος, εἰδὼς χρημάτων τε δεομένην τὴν πόλιν, καὶ ξενοτροφοῦσαν. προὔπεμψεν οὖν αὐτὸν ὁ αἰγύπτιος ἐντίμως, καὶ μεγαλοπρεπῶς, ἄλλας τε δωρεὰς δοὺς, καὶ πρὸς τὸν πόλεμον ἀργυρίου τάλαντα τριάκοντα καὶ διακόσια. χειμῶνος δ᾽ ἤδη ὄντος, τῆς γῆς ταῖς ναυσὶν ἐχόμενος ὁ ἀγησίλαος, καὶ παρὰ τὴν λιβύην εἰς χωρίον ἔρημον κομισθεὶς, ἔνθα ὁ μενελάου καλούμενος

λιμὴν,

λιμὴν, νόσῳ τελευτᾷ, βιοὺς μὲν ἔτη τέτρασι πλείω τῶν ὀγδοήκοντα, βασιλεύσας δὲ τῆς Σπάρτης ἓν καὶ τεσσαράκοντα, καὶ τούτων ὑπὲρ τριάκοντα πάντων μέγιστος καὶ δυνατώτατος γενόμενος, καὶ σχεδὸν ὅλης τῆς Ἑλλάδος ἡγεμὼν καὶ βασιλεὺς νομισθείς, ἄχρι τῆς ἐν Λεύκτροις μάχης. τὸ δὲ σῶμα αὐτοῦ διὰ μέλιτος ἀπορίαν, κηροῦ περιτακέντος ἀποκομισθὲν ἐς Λακεδαίμονα, ἔτυχε τῆς βασιλικῆς ταφῆς. τὴν δὲ βασιλείαν Ἀρχίδαμος ὁ υἱὸς διεδέξατο, καὶ διέμεινε τῷ γένει μέχρις Ἄγιδος. ὃν ἐπιχειροῦντα τὴν πάτριον ἀναλαμβάνειν πολιτείαν, ἀπέκτεινε Λεωνίδας πέμπτον ἀπ' Ἀγησιλάου γεγονότα. Αἴγυπτον μέντοι μετ' οὐ πολὺ Ἀρταξέρξου τελευτήσαντος, Ὦχος τὴν Περσῶν βασιλείαν διαδεδεγμένος, αὐτὸς ἐλάσας καὶ ναυσὶ καὶ πεζῷ, αὖθις ὑπηγάγετο. καὶ τὸν Ἆπιν καταθύσας, ταῦρον ποικίλον ἐπὶ θεοῦ εἰκόνι τιμώμενον τοῖς Αἰγυπτίοις, μετὰ τῶν φίλων εὐωχήθη. ἀλλὰ ταῦτα μὲν ὕστερον, τότε δὲ ἐν τῇ Ἑλλάδι ἔτος ἓν ἐμμεινάντων τῶν Ἑλλήνων τῇ εἰρήνῃ, οἱ Μεγαλοπολῖται στασιάσαντες, ἐπολέμουν, οἱ ἐκ τῆς μεγάλης πόλεως, πρὸς τοὺς ἐκ τῶν ἑτέρων πολισμάτων. ὅσοι δὴ καὶ πρότερον αὐτοῖς τοῦ ἐς τὴν μεγάλην πόλιν συνοικισμοῦ ἦσαν ἐπικεκοινωνηκότες, τότε δὲ δυσχερῶς φέροντες τὴν ἐκ τῶν πατρίδων μετάστασιν, ἐς τὰ ἴδια αὖθις ἐπανεληλύθεσαν πολίσματα. οἱ δὲ Μεγαλοπολῖται ἠνάγκαζον ἐκλιπόντας αὖθις τὰς πατρίδας, χωρεῖν αὖ εἰς τὸν συνοικισμόν· οὐχ ὑπακούουσι δὲ ἐπολέμουν. οἱ μὲν οὖν ἐκ τῶν πολισμάτων, Μαντινέας τε βοηθεῖν σφίσι, καὶ τῶν ἄλλων Ἀρκάδων τοὺς Μαντινεῦσι συμμεμαχηκότας ἠξίουν, καὶ Ἠλείους. οἱ δὲ Μεγαλοπολῖται Ἀθηναίους παρεκάλουν βοηθεῖν. οἱ καὶ θᾶττον ὑπακούσαντες, τρισχιλίους μὲν ὁπλίτας, ἱππέας δὲ τριακοσίους ἀπέστειλαν, καὶ στρατηγὸν Παμμένη. ὃς ἐς τὴν Μεγαλόπολιν ἀφικόμενος, καὶ τῶν πολισμάτων τὰ μὲν ἐκπορθήσας, τὰ δὲ καταπληξάμενος, συνηνάγκασεν αὖθις ἐς τὴν Μεγαλόπολιν συνοικίσαι. τὰ μὲν οὖν περὶ τὸν τῆς μεγάλης πόλεως συνοικισμόν, ἐπὶ τοσοῦτον ταραχῆς ἐλθόντα, τοιαύτης ἔτυχε καταστολῆς. ἐπεὶ δ' Ἀλέξανδρος ὁ τῶν Φεραίων τύραννος, λῃστρίδας ναῦς ἐκπέμψας ἐπὶ τὰς Κυκλάδας νήσους, τινὰς μὲν ἐκπολιορκήσας, πολλῶν σωμάτων ἐκυρίευσεν, ἐν δὲ Πεπαρήθῳ μισθοφόρους ἀποβιβάσας στρατιώτας, ἐπολιόρκει τὴν πόλιν, Ἀθηναῖοι βοηθοῦντες τοῖς Πεπαρηθίοις, στρατηγὸν Λεωσθένη ἀπέστειλαν μετὰ νεῶν. ἀλλ' οὗτος μὲν στρατιώτας τινὰς τῶν Ἀλεξάνδρου πεμπομένους ἐς βοήθειαν τοῖς ἐν Πεπαρήθῳ, ἐν Πανόρμῳ καταλαβών, παρεφύλαττεν. αἱ δ' Ἀλεξάνδρου νῆες, ἀπροσδοκήτοις τοῖς Ἀθηναίοις ἐπιθέμεναι, ἔτρεψάν τε, καὶ τούς τε ἑαυτῶν στρατιώτας κινδυνεύοντας διέσωσαν τοὺς ἐν Πανόρμῳ. ναῦς τε εἷλον Ἀττικὰς μὲν πέντε, μίαν δὲ Πεπαρηθίαν. ἐπὶ δὲ τούτῳ οἱ Ἀθηναῖοι ὀργισθέντες, Λεωσθένους μὲν θάνατον κατέγνωσαν. ἑλόμενοι δὲ στρατηγὸν Χάρητα, καὶ τούτῳ ναυτικὴν δόντες δύναμιν, ἐξέπεμψαν. οὗτος δὲ ἰδίᾳ τοὺς μὲν πολεμίους εὐλαβούμενος, τοὺς δὲ συμμάχους ἀδικῶν διετέλει. ἄλλα τε δὴ παρανομῶν, καὶ ἐς Κέρκυραν συμμαχίδα πόλιν καταπλεύσας, στάσεις ἐν αὐτῇ μεγάλας ἐκίνησεν. ἐξ ὧν σφαγάς τε πολλὰς καὶ ἁρπαγὰς συνέπεσε γενέσθαι, δι' ἃ καὶ συνέβη τὸν δῆμον τῶν Ἀθηναίων παρὰ τοῖς συμμάχοις διαβληθῆναι. ἤδη δὲ καὶ Φίλιππος ὁ Ἀμύντου ἀποδρὰς ἐκ τῆς παρὰ Θηβαίοις ὁμηρείας, καὶ ἐς Μακεδονίαν ἀφικόμενος, ἐβασίλευσε Μακεδόνων. Ὀλυμπιὰς δ' ἦν πέμπτη καὶ ἑκατοστή, ὅτε Φίλιππος Μακεδόνων ἐβασίλευσεν. ἔτυχε δὲ Θήβησι Φίλιππος ὁμηρεύων, Πελοπίδου λαβόντος εἰς ὁμηρείαν παρὰ Ἀλεξάνδρου τοῦ ἀδελφοῦ, Μακεδόνων τότε βασιλεύοντος, ὅτε Πελοπίδας πεμφθεὶς ὑπὸ Θηβαίων στρατηγὸς ἐπ' Ἀλέξανδρον τὸν Φεραίων τύραννον, στασιαζόντων πρὸς αὐτὸν τῶν Θετταλῶν, καὶ ἐπικαλεσαμένων βοήθειαν ἐκ Θηβῶν, ἔτυχε καὶ ἐς Μακεδονίαν ἐκ Θετταλίας παρελθών. καὶ προσαγαγόμενος πρὸς συμμαχίαν Ἀλέξανδρον τὸν βασιλέα, λαβὼν καὶ ὅμηρον Φίλιππον τὸν ἀδελφόν, ἀνέπεμψεν ἐς Θήβας. συνέβη μέντοι καὶ πρότερον Φιλίππῳ τούτῳ ἐπὶ τοῦ πατρὸς Ἀμύντου ἐν Θήβαις γεγονέναι. Ἀμύντου γὰρ ὑπὸ Ἰλλυριῶν καταπολεμηθέντος, καὶ φόρους τε αὐτοῖς τελεῖν ἀναγκασθέντος, καὶ τῶν παίδων ἕνα ἐς ὁμηρείαν παρασχεῖν, ἐδόθη Φίλιππος οὗτος νεώτατος τῶν υἱέων, παρὰ Θηβαίοις ὁμηρεύσων, οὕτως ὁμολογησάντων. Θηβαῖοι δὲ παραλαβόντες τὸν παῖδα, τῷ Ἐπαμινώνδου παρέθεντο πατρί. καὶ συνετρέφετο καὶ οὗτος Ἐπαμινώνδᾳ, τῆς αὐτῆς ἐκείνῳ παιδείας τε καὶ ἀγωγῆς κοινωνῶν. ἔτυχε δὲ τῷ Ἐπαμινώνδᾳ Πυθαγόρειος ὢν ὁ τῆς παιδείας ἐπιστάτης. ἐκείνης μὲν οὖν ἀφεθεὶς τῆς ὁμιλίας ὁ Φίλιππος, αὖθις παρὰ τῷ πατρὶ ἦν. τοῦ δὲ πατρὸς τελευτήσαντος ἐπὶ τρισὶ μὲν γνησίοις παισίν, Ἀλεξάνδρῳ καὶ Περδίκκᾳ καὶ Φιλίππῳ τούτῳ, νόθῳ δὲ Πτολεμαίῳ τῷ Ἀλωρίτῃ, ὃς ἐν Ἀλώρῳ πό-

πόλει μακεδονικῇ γεγονώς τε καὶ τραφείς, ἀλωρίτης δὴ ἐκ τούτου ἐκαλεῖτο. ἀλέξανδρος δὲ πρεσβύτατος ὢν τῶν γνησίων, ἐβασίλευσε μακεδόνων, ὑφ' οὗ καὶ θηβαίοις αὖθις ὁ φίλιππος παρεδόθη ἐς τὴν ὁμηρείαν. ἀλλὰ ἀλέξανδρον μὲν ἔτος ἓν βεβασιλευκότα, πτολεμαῖος οὗτος ὁ ἀλωρίτης, κτείνας δόλῳ, αὐτὸς ἐβασίλευσε μακεδόνων. ὀλυμπιὰς δ' ἦν τρίτη καὶ ἑκατοστή, ὅτε πτολεμαῖος μακεδόνων ἐβασίλευσε. τοῦτον δ' ἔτη τρία βασιλεύσαντα, περδίκκας αὖ κτείνας ὁ ἀδελφός, ἐβασίλευσεν ἔτη πέντε. τούτου δὲ ἰλλυριοῖς μεμαχημένου τε καὶ ἡττημένου, πρὸς δὲ τῇ ἥττῃ καὶ αὐτοῦ πεπτωκότος ἐν τῇ μάχῃ, φίλιππος ἐκ τῆς ὁμηρείας ἀποδρὰς, κατέσχε τὴν βασιλείαν, κακῶς διακειμένην. πρῶτον μὲν γὰρ ἐν τῇ ἔναγχος ταύτῃ μάχῃ πρὸς τοὺς ἰλλυριοὺς, πλείους ἢ τετρακισχίλιοι μακεδόνων πεπτωκότες ἦσαν. ἔπειθ' οἱ παίονες ἐν γειτόνων τοῖς μακεδόσιν ὄντες, καταπεφρονηκότες αὐτῶν ἦγον, καὶ ἔφερον τὴν μακεδονίαν. εἶθ' οἱ ἰλλυριοὶ αὖθις μεγάλας καταλέγοντες δυνάμεις, ἐπὶ τὴν μακεδονίαν στρατεύειν παρεσκευάζοντο. πρὸς δὲ τούτοις, παυσανίας τις τῆς βασιλικῆς συγγενείας, ἐπειρᾶτο διὰ τοῦ θρακῶν βασιλέως ἐπὶ τὴν βασιλείαν τὴν μακεδονικὴν κατιέναι. ὡς δὲ καὶ ἀθηναῖοι ἀργαῖόν τινα, τοῦ βασιλικοῦ καὶ τοῦτον γένους, κατῆγον ἐπὶ τὴν βασιλείαν, Μαντίαν ἀπεσταλκότες στρατηγὸν, σὺν ναυτικῇ τε δυνάμει ἀξιολόγῳ, καὶ ὁπλίταις καὶ μισθοφόροις οὐκ ὀλίγοις. οὕτω δ' ἔχουσαν τὴν βασιλείαν παραλαβὼν φίλιππος, οὐκ ἀνέπεσεν οὐδ' ἀπέγνω τὰ πράγματα, ἀλλ' ἅτε φύσεώς τε δεξιᾶς τυχὼν, καὶ πρὸς τῇ φύσει καὶ παιδείας ἑλληνικῆς καὶ ἀγωγῆς οὐ φαύλης μετεσχηκὼς, πρῶτον μὲν τοὺς μακεδόνας ὁρῶν ἀθύμως ἔχοντας, λόγοις τε παραμυθητικοῖς καὶ προτρεπτικοῖς παρεθάρρυνε. καὶ τάς τε ὁπλίσεις αὐτῶν καὶ τάξεις τὰς στρατιωτικὰς, ἐπὶ τὸ κρεῖττον κατεκόσμησε, καὶ τὸν τῆς μακεδονικῆς φάλαγγος συνασπισμὸν αὐτὸς πρῶτος συνεστήσατο. ἔπειτα καὶ πρὸς παίονας διαπρεσβευσάμενος, καὶ δωρεαῖς τε καὶ ἐπαγγελίαις τοὺς δυνατοὺς αὐτῶν προσαγαγόμενος, εἰρήνην ἄγειν ἔπεισεν. ὡς δὲ καὶ παυσανίου ἀπετρέψατο τὴν κάθοδον, δωρεαῖς τὸν κατάξοντα αὐτὸν βασιλέα πείσας. ἐπεὶ δὲ Μαντίας ὁ τῶν ἀθηναίων στρατηγὸς καταπεπλευκὼς εἰς μεθώνην, ἔχων καὶ τὸν ἀργαῖον, αὐτὸς μὲν αὐτοῦ κατέμενε· τὸν δ' ἀργαῖον εἰς αἰγὰς, πόλιν μακεδονικὴν ἠπειρῶτιν, μετὰ τῶν μισθοφόρων ἀνέπεμψεν. οὗτος μὲν προσελθὼν ταῖς αἰγαῖς, καὶ λόγοις πειράσας, ὡς οὐδεὶς αὐτῷ προσεῖχεν, αὖθις ἀνέστρεφε πρὸς τὴν μεθώνην. ἀναστρέφοντι δὲ φίλιππος προστυχὼν, καὶ μαχεσάμενος, ἐτρέψατό τε, καὶ πολλοὺς μὲν τῶν μισθοφόρων ἀνεῖλε. τοὺς δὲ λοιποὺς, ἔς τινα λόφον καταπεφευγότας, ὑποσπόνδους ἀφῆκε, τοὺς φυγάδας παρ' αὐτῶν εἰληφὼς ἐκδότους. ἅμα δὲ τούτοις, καὶ θάσιοι τὰς καλουμένας κρηνίδας ᾤκησαν, ἃς ὕστερον ὁ βασιλεὺς φίλιππος οἰκήτορας προσθεὶς, καὶ φιλίππους ὠνόμασεν ἀφ' ἑαυτοῦ. μετὰ δὲ ταῦτα πέμψας ἐς ἀθήνας πρεσβείαν, ἔπεισε τὸν δῆμον εἰρήνην πρὸς ἑαυτὸν συνθέσθαι, καὶ ἐπειδὴ τοῦ τε ἀπ' ἀθηναίων πολέμου ἀπήλλακτο, καὶ ἅμα ἄγιν τὸν τῶν παιόνων βασιλέα τετελευτηκέναι ἐπύθετο, νομίσας καιρὸν ἔχειν τοῖς παίοσιν ἐπιθέσθαι, ἐστράτευσέ τε ἐπ' αὐτοὺς. καὶ μάχῃ νικήσας, ἠνάγκασεν ὑπήκοον καὶ τοῦτο ἑαυτῷ γενέσθαι τὸ ἔθνος. δεύτερον δ' ἦν ἔτος φιλίππῳ βασιλεύοντι, ὅτε παίονας ὑπηγάγετο. λοιπὸς δ' αὐτῷ ὁ πρὸς ἰλλυριοὺς πόλεμος ἦν. πρὸς ὃν ἤδη καὶ θαρραλεώτερος ἦν, ἅτε καὶ τοὺς παίονας τοῖς μακεδόσι προσειληφώς. συναγαγὼν οὖν ἐκκλησίαν, καὶ τοὺς στρατιώτας ἐπὶ τὸν πόλεμον, οἷς προσῆκε λόγοις προτρεψάμενος, ἐστράτευσεν ἐπὶ τὴν τῶν ἰλλυριῶν ἐπικράτειαν, ἀπαιτῶν ἰλλυριοὺς τὰς ὑπ' αὐτῶν κατεχομένας μακεδονικὰς πόλεις. οὐ προσδεξαμένου δὲ βαρδύλεω τοῦ ἰλλυριῶν βασιλέως τὸν λόγον, ἀλλ' ἄλλως τὴν εἰρήνην ἀξιοῦντος ποιεῖσθαι, ἔχοντας ἑκατέρους τὰς πόλεις, ὧν τέως κρατοῦσιν, ὡς οὐδὲ φίλιππος ταῦτα προσεδέχετο, συνέβαλον ἀλλήλοις εἰς μάχην, παραπλησίας ἔχοντες τὰς δυνάμεις. ἐπὶ πολὺ μὲν οὖν ἰσόρροπος ἦν ἡ μάχη, ἀμφοτέρων τῶν στρατευμάτων ἐκθύμως ἀγωνιζομένων. ἐπεὶ δ' ἔνθεν μὲν οἱ ἱππεῖς, ἔνθεν δ' ὁ φίλιππος, ἐπὶ μέσον ἑαυτὸν ἕωσαν τοὺς πολεμίους, ἐτράπησάν τε οἱ ἰλλυριοὶ, καὶ ἔφυγον. ὥστε κατὰ κράτος ἡττημένοι τῶν μακεδονικῶν πόλεων, ὧν τέως ἐκράτουν ἐκχωρήσαντες φιλίππῳ, εἰρήνην συνέθεντο. καὶ φίλιππος ἐπισφαλέστατα ἔχουσαν τὴν μακεδονικὴν βασιλείαν παραλαβὼν πρὶν δεύτερον αὐτὸν ἔτος ἐξήκειν βασιλεύοντα, ἐπὶ τὸ ἀσφαλέστερον κατεστήσατο. μετὰ δὲ ταῦτα, εὐβοεῖς πρὸς ἀλλήλους στασιάσαντες, ἐπικαλεσάμενοι οἱ μὲν βοιωτοὺς, οἱ δὲ ἀθηναίους, ἐπολέμουν ἐν τῇ νήσῳ, μεγάλῃ μὲν παρατάξει οὐδεμιᾷ, ἀκροβολισμοῖς δὲ καί τισι συμπλοκαῖς οὐ λόγου ἀξίαις. ἐν αἷς ποτὲ μὲν οἱ βοιωτοὶ, ποτὲ δὲ οἱ ἀθηναῖοι ἐπεκρά-

των, ἕως οἱ εὐβοεῖς ὑπό τε φθείρεσθαί τε καὶ κακῶς πάσχειν, ἅτε ἐμφυλίου ὄντος τοῦ πολέμου, νουθετηθέντες ταῖς συμφοραῖς, ὡμονόησάν τε, καὶ τὸν πόλεμον κατέλυσαν. βοιωτοὶ δὲ καὶ ἀθηναῖοι, οἴκαδε ἑκάτεροι ἀπεχώρησαν, οἱ μέντοι ἀθηναῖοι ἅμα τούτοις ἐς τὸν συμμαχικὸν κληθέντα πόλεμον ἐνέπεσον. ὃς καὶ παρέμεινεν αὐτοῖς ἐπ' ἔτη τρία. ῥόδιοι γὰρ καὶ κῷοι καὶ χῖοι, ἔτι δὲ βυζάντιοι, ἐν τῷ συμμαχικῷ τελέως τελοῦντες τοῖς ἀθηναίοις, τότε ἀπέστησαν. ἀθηναῖοι δ' ἐπολέμουν αὐτοῖς, ὅπως ἂν τὴν συμμαχίαν αὖθις ἀποκαταστήσειαν. οὐ μέντοι ἴσχυσαν ἀποκαταστῆσαι. οἵ τε γὰρ νησιῶται, προθυμότατα τὸν πόλεμον διέφερον. καὶ μαύσωλος ὁ τῆς καρίας δυνάστης, συνελάμβανε τοῦ πολέμου. ἐπεὶ δὲ καὶ χάρης ὁ ἀθηναίων στρατηγὸς ἀποβὰς τῶν νεῶν, καὶ φαρναβάζῳ βασιλέως ἀποστάτῃ μεγάλῃ δυνάμει συμμαχήσας, ἐκράτησε τῶν βασιλέως σατραπῶν, ἐφ' οἷς παρὰ μὲν φαρναβάζου συχνὰ εἰλήφει χρήματα ἐς σιτηρέσιον τῇ στρατιᾷ. λόγος δὲ διεδόθη, ὡς διὰ χάρητα ὀργισθεὶς ὁ βασιλεύς, τριακοσίαις ναυσὶ βούλοιτο τοῖς νησιώταις κατὰ ἀθηναίων βοηθῆσαι. οὕτω δὴ δείσαντες οἱ ἀθηναῖοι, τὸν πόλεμον κατέλυσαν, ἐφ' οἷς οἱ νησιῶται ἐβούλοντο, συνθέμενοι τὴν εἰρήνην. ἀλλὰ ταῦτα μὲν ὕστερον. φίλιππος δὲ ὁ μακεδόνων βασιλεύς, ἐπειδὴ αὐτῷ παίονες μὲν ὑπήκοοι γεγενημένοι ἦσαν, ἰλλυριοὶ δὲ καλήν τε αὐτῷ καὶ ἔνδοξον εἰρήνην ἐπεποίηντο, τάς τε μακεδονικὰς ἀνειληφότι πόλεις, ἐπὶ τὰ μέχρι τῆς λυχνίτιδος καλουμένης λίμνης ὑπαγομένῳ, οἱ μέντοι ἀμφιπολῖται πόλιν ἔχοντες ἐπὶ τῷ στρυμόνι ποταμῷ οὐ φαύλην, πολλά τε αὐτῷ προσκεκρουκότες ἦσαν, ἐστράτευσέ τε ἐπ' αὐτούς, καὶ ἐκπολιορκήσας εἷλεν. ἔτος δ' ἦν τρίτον βασιλεύοντι φιλίππῳ, ὅτε δὴ ἀμφίπολιν εἷλεν. ἑλὼν δὲ τὴν πόλιν, ὀλίγους μέν τινας τῶν ἑαυτῷ σφόδρα διαφόρων ἐφυγάδευσε. τοῖς δ' ἄλλοις φιλανθρώπως προσενεχθείς, κατέσχεν ἐπίκαιρον οὖσαν τὴν πόλιν πρός γε τὰς πρὸς θρᾴκας πράξεις. εὐθὺς δὲ καὶ πύδναν εἷλε, πόλιν ἐπὶ τῷ θερμαίῳ καλουμένῳ κόλπῳ. καὶ ποτίδαιαν μετ' αὐτὴν ἐκπολιορκήσας, ἐπὶ τῷ παλλήνης τῆς χερρονήσου αὐχένι κειμένην πόλιν, ὑπό τε ἀθηναίων φρουρουμένην· ἀλλὰ φίλιππος ἑλὼν τὴν πόλιν, τοὺς μὲν ἀθηναίων φρουροὺς ἐξαπέστειλεν ἐς ἀθήνας, νέμων μέρος τι χάριτος ἐπὶ τῷ ἀθηναίων δήμῳ. τὴν δὲ πόλιν ἐξανδραποδισάμενος, καὶ κατασκάψας, ὀλυνθίοις ἀστυγείτοσιν οὖσι, νέμεσθαι τὰς κτήσεις ἔδωκε. θεραπεύων δὲ τοὺς ὀλυνθίους, πόλιν ἔχοντας μεγίστην τε τῶν ἐκεῖ, καὶ δυνατωτάτην, ἅτε γὰρ προσδοκῶν ἤδη τὸν ἀπ' ἀθηναίων πόλεμον, τοὺς ὀλυνθίους προκαταλαμβάνειν ἔγνω, ἵν' ἑαυτῷ προσέχωσι, καὶ μὴ ἀθηναίοις προσθέμενοι, χαλεπώτερον αὐτῷ τὸν πρὸς ἀθηναίους πόλεμον ποιῶσι. μετὰ δὲ ταῦτα, ἐπὶ πόλιν κρηνίδας ἀφικόμενος, καὶ ταύτην οἰκητόρων πλήθει ἐπαυξήσας, φιλίππους τε μετονομάσας, τὰ ἐκεῖ χρύσεια μέταλλα, παντάπασι λιτὰ ὄντα, καὶ φαῦλα, ἐς τοσοῦτον ηὔξησε ταῖς κατασκευαῖς, ὥστε φέρειν αὐτῷ πλείω ἢ χιλίων ταλάντων πρόσοδον. ἀφ' ὧν χρημάτων ἤδη οὐκ ὀλίγων εὐπορῶν, ἐπὶ μέγα τὴν μακεδονικὴν ἦγε βασιλείαν. νόμισμα γὰρ χρύσεον ἐν τοῖς δοκιμωτάτοις κόψας, τὸ φιλίππειον προσαγορευθέν, τούτῳ δύναμίν τε ἀξιόλογον μισθοφόρων συνεστήσατο. καὶ ἐς τὰς πόλεις πέμπων τοῖς προεστηκόσι, διέφθειρέ τε ἐς προδοσίαν, καὶ ταχὺ ἃ βούλοιτο παρ' ἑκάστοις διεπράττετο. ἀλλὰ ταῦτα μὲν κατὰ μακεδονίαν. ἐς δὲ σικελίαν δίων ὁ ἱππαρίνου συρακούσιος καταπλεύσας, τῆς διονυσίου τοῦ νεωτέρου ἀπήλλαξε τυραννίδος τοὺς πολίτας. ὀλυμπιὰς δ' ἦν ἄρτι δὴ παρεληλυθυῖα ἕκτη καὶ ἑκατοστή, ὅτε δίωνι ταῦτα ἐπέπρακτο. δοκεῖ δ' ὁ ἀνὴρ οὗτος πάντων τῶν πρὸ αὐτοῦ, ἐν γε μνήμῃ ἐλαχίσταις χρησάμενος ἀφορμαῖς, μεγίστην δυναστείαν καταλελυκέναι. δυοῖν γὰρ πλοίοιν στρογγύλοιν, καὶ στρατιώταις ὀλίγοις τοῖς ἐπὶ τοῖν πλοίοιν τούτοιν τὴν ἀρχὴν ὁρμηθείς, τυραννίδα πλείσταις μὲν τριήρεσι, παμπόλλοις δὲ μισθοφόροις πεφραγμένην κατέλυσεν. αἰτίαι δὲ τῆς δίωνος πρὸς διονύσιον ἐκπολεμώσεως, αἵδε ἐγένοντο. διονύσιος ὁ πρεσβύτερος, ἐκ ταπεινοῦ καὶ ἀδόξου πολίτου, τὴν τῶν συρακουσίων τυραννίδα κτησάμενος, καὶ ταύτην παμπόλλοις μισθοφόροις ἀσφαλισάμενος, ἔγημε καὶ γυναῖκε δύο, ἅμα τε ἄμφω, καὶ ἐν τοῖς αὐτοῖς ἀγαγόμενος τὴν μὲν ἐκ λοκρίδος τῆς ἐν ἰταλίᾳ, τὴν δὲ ἀστὴν ἱππαρίνου θυγατέρα, δοκίμου δὴ ἐν τοῖς πολίταις ἀνδρός, ἧς καὶ δίων ἦν οὗτος ἀδελφός. οὕτως ἔχοντι τῷ διονυσίῳ τούτῳ, παραγίγνεται καὶ πλάτων ἐξ ἀθηνῶν ἀποδεδημηκὼς μὲν ἐς τοὺς περὶ ἰταλίαν τε καὶ σικελίαν τούσδε τόπους, ἐπὶ ἱστορίᾳ τῶν τε πόλεων καὶ πολιτειῶν τῶν ἐκεῖ. ἀφιγμένος δὲ καὶ παρὰ τὸν τύραννον τοῦτον, μέγιστον τῶν ἐκεῖ ἑλλήνων δυνάμενον, πειρασόμενος, ὅπως θείᾳ τινὶ τύχῃ οἷός τε γένοιτο, ἐπὶ φιλοσοφίαν προτρεψάμενος, μεγάλων

ἀγαθῶν, αἷς ἦρχε πόλεσιν αἴτιος καταστῆναι, ἅτε δὴ τῆς τυραννίδος μέγιστον ἐφ' ὅ,τι ἂν ὁρμήσειαν δυναμένης, εἴτε ἀγαθόν τι, εἴτε μοχθηρόν. τοῦ μὲν οὖν τυράννου, οὐδὲ παραμικρὸν ἀπέτυχεν, ἀλλ' ὥστε ὀργισθέντα ἐπὶ τῇ παρρησίᾳ, πόλιδι τῷ λακεδαιμονίων ναυάρχῳ ἐκδοῦναι περάσαι, πολέμου ὄντος τότε πρὸς ἀθηναίους λακεδαιμονίοις, οὗ καὶ πωλοῦντος περὶ αἴγιναν, κατὰ τύχην κυρηναῖος ἀνήρ, ἀννίκερις τοὔνομα, ὠνεῖταί τε· καὶ ἑταίρων τὰ λύτρα αὐτῷ προσφερόντων, οὐκ ἐδέξατο, εἰπών, μὴ μόνους αὐτοὺς πλάτωνος ἀξίους εἶναι κήδεσθαι. τὰ μὲν οὖν πρὸς τὸν τύραννον αὐτῷ, τοιαῦτα συνέβη. δίωνι δὲ τότε ἐντυχὼν νέῳ ὄντι, οὕτως εὐφυᾶ εὗρε πρὸς φιλοσοφίαν, ὡς μηδενὸς τῶν πλάτωνος ἑταίρων τὰ εἰς φιλοσοφίαν, δίωνα ἀπολειφθῆναι. κοσμίως μέντοι ἤδη βιοὺς δίων διὰ τὴν φιλοσοφίαν, ἐπαχθέστερος τοῖς τρυφῶσι, καὶ κατὰ τὰ τυραννικὰ ἤθη βιοῦσιν, ἀπήει. διονύσιος δὲ οὗτος πρὸς μὲν φιλοσοφίαν ἀλλοτρίως εἶχε. ποιητικῆς μέντοι ἐραστής, καὶ ποιήματα συνετίθει, ἀνεπείσθη ὑπὸ τῶν κολάκων ἐπιτυχῆ αὐτὰ ποιεῖν, καίπερ μοχθηρὰ ποιῶν. καὶ εἴ ποτε ἐμέμψατό τις, ὀργῆς ἐπειρᾶτο. ὥσπερ γὰρ ἴσως διονύσιος οὐκ ἀληθεύοντα τὸν μεμφόμενον, ἀλλὰ φθονοῦντα μέμφεσθαι. καί ποτε φιλόξενον ἀγαθὸν διθυραμβοποιόν, ὅτι διακούσας ἐμέμψατο, εἰς τὰς λατομίας πέμψας ἐνέβαλεν. εἶτα τῶν φίλων παραιτησαμένων ἐξαγαγών, καὶ παρὰ πότον παραλαβών, ποιήματά τε αὖθις ἐπιδεικνύμενος, ἐπυνθάνετο ποῖ' ἄττα αὐτῷ φαίνοιτο. ὁ δὲ περὶ μὲν τῶν ποιημάτων εἶπεν οὐδέν· τοὺς δ' ὑπηρέτας τοὺς τοῦ διονυσίου καλέσας, ἀπάγετέ με, ἔφη, ἐς τὰς λατομίας. τότε μὲν οὖν εὐτραπελείᾳ τῇ παρὰ τὸν πότον διὸς ὁ διονύσιος, πράως πως ἤνεγκε. ἐπειδὴ δὲ ὁ μὲν διονύσιος οὗτος τετελευτήκει καταλιπὼν υἱεῖς, ἕνα μὲν τὸν πρεσβύτατον ἐκ τῆς λοκρίδος, ὁμώνυμον ἑαυτῷ διονύσιον, δύο δὲ ἐκ τῆς ἀριστομάχης τῆς δίωνος ἀδελφῆς, ἱππαρῖνον καὶ νυσαῖον. τὴν δὲ τυραννίδα διονύσιος ἅτε πρεσβύτατος παρειλήφει, νέος δὴ ὢν καὶ ἐν τούτῳ τῆς ἡλικίας, ἐν ᾧ μάλιστα ἄνθρωποι περὶ τὴν τοῦ βίου αἵρεσιν ταλαντεύονται. δίων μὲν προσφέρων αὐτῷ τοὺς ἐκ φιλοσοφίας λόγους, ἐπὶ φιλοσοφίαν εἷλκεν. ἕτεροι δ' ἐπὶ θάτερα ἀνθεῖλκον. πείθει δ' οὖν διονύσιον δίων, τέως γὰρ αὐτὸς ἐκράτει, μεταπέμψασθαι πλάτωνα, τῶν ἐκ φιλοσοφίας λόγων ἕνεκα. καὶ αὐτὸς δὲ δίων πλάτωνι ἐπιστέλλων, σφόδρα ἐδεῖτο εἰς σικελίαν ἀφικέσθαι, ὡς μεγάλην δὴ ἐλπίδα οὖσαν, διονύσιον τηλικοῦτον τύραννον φιλοσοφήσειν. οὕτω δὴ εἰς σικελίαν ἀφικνεῖται αὖθις πλάτων. ἐλθὼν δὲ εὑρίσκει κρατοῦντας ἤδη τοὺς δίωνι διαφόρους, οἳ ἔπειθον διονύσιον, ὡς ἐπιβουλεύων τῇ τυραννίδι δίων, προτρέποιτο ἐκεῖνον ἐπὶ φιλοσοφίαν, ἵνα ὁ μὲν παιδείᾳ δὴ κεκωλυμένος, τῆς ἀρχῆς ἀμελῇ. ὁ δὲ λάθῃ πάντα διαπεπραγμένος. καὶ μετ' οὐ πολὺ τῆς πλάτωνος ἀφίξεως δίωνα διονύσιος ἐκβάλλει, μικρὸν εἰς πλοῖον ἐμβιβάσας. πλάτωνα δὲ καὶ τοὺς δίωνος φίλους, παρεμυθεῖτό τε καὶ ἀνελάμβανε, πεφοβημένους δὴ φάσκων μὴ φυγὴν γεγονέναι δίωνι τὴν ἐκβολήν, ἀλλὰ μετάστασιν, ὡς ἐπανήξοντα πάλιν ὅταν αὐτῷ διονυσίῳ ἀσφαλέστερον καταστῇ τὰ περὶ τὴν ἀρχήν. πλάτωνα δὲ καὶ διαφερόντως ἐτίμα, καὶ ἅμα μὲν ἐδεῖτο μένειν, ἅμα δὲ καὶ προσεβιάζετο, φανερὸς γιγνόμενος οὐκ ἐπιτρέψων τὸν ἔκπλουν. μένει δὴ πλάτων παρὰ διονυσίῳ, εἴτ' ἄρ' ἐβούλετο, εἴτε καὶ μή, πειρώμενος ἅμα παντὶ τρόπῳ, καὶ εἰς ἐπιθυμίαν τοῦ φιλοσόφου ἐμβαλεῖν ζωῆς. ἐπεῖρα μέντοι καὶ διονύσιος πλάτωνα, ἀφιστάναι μὲν τῆς δίωνος φιλίας, εἰς δὲ τὴν ἑαυτοῦ μᾶλλον τρέπειν. ἐπεὶ δ' οὐδετέρῳ ἡ πεῖρα ἐπεραίνετο, πείθεται διονύσιος ἀφεῖναι πλάτωνα, συνομολογήσαι τε ἐπανήξειν εἰς σικελίαν αὖθις, ἐπειδὰν ἐκεῖνος μεταπέμψηται αὐτόν τε ὁμοῦ καὶ δίωνα. μεταπέμψασθαι δὲ εἰρήνης γενομένης. ἐτύγχανε γὰρ οὖν πόλεμος τότε ὤν. καὶ δὴ τῆς εἰρήνης γεγονυίας, μεταπέμπεται διονύσιος πλάτωνα, οὐκ ἔτι κατὰ τὰς ὁμολογίας μετὰ δίωνος, ἀλλὰ μόνον, δι' ἃ δὴ τὸ μὲν πρῶτον οὐχ ὑπήκουε, καίπερ καὶ δίωνος κελεύοντός τε καὶ δεομένου. ἔπειτα τριήρη πέμψαντος ῥᾳστώνης ἕνεκα τῆς πορείας, καὶ ἐπ' αὐτῆς τῶν ἐν σικελίᾳ φίλων μάλιστα αὐτῷ πλάτωνι γεγονότων, καὶ γνωρίμων ἔστιν οὓς καὶ γράφοντος, ὡς ἐὰν μὲν ἀφίκῃ, πάντ' ἔσται σοι τὰ περὶ δίωνα, ὡς ἂν ἐθελήσῃς αὐτός. ἐθελήσεις δὲ οἶδ' ὅτι τὰ μέτρια καὶ ἐγὼ συγχωρήσομαι. εἰ δὲ μή, οὐδέν σοι τῶν περὶ δίωνα ἕξει πραγμάτων, ὡς ἂν ἐθέλοις. καὶ ἅμα τῶν ἐπὶ τῆς τριήρους θρυλλούντων, ὡς διονύσιος θαυμαστῶς φιλοσοφίας ἐν ἐπιθυμίᾳ πάλιν εἴη, καὶ ἦν δέ τι καὶ τοιοῦτον, ἔτι τε καὶ ἀρχύτου τοῦ ταραντίνου, ἀνδρὸς πυθαγορείου, δοκιμωτάτου τῶν τότε, ἐπιστέλλοντός τε καὶ αὐτοῦ, καὶ δεομένου ὑπακοῦσαί τε καὶ ἀπελθεῖν, ὡς δι' αὐτῷ ἀρχύτᾳ, οὐδὲ πόλει τῇ αὐτοῦ λυσιτελοῦν τὸ μὴ ὑπακοῦσαι, διὰ τὸ καὶ τὴν φιλίαν τὴν αὐτοῦ πρὸς διονύσιον διὰ αὐτοῦ πλάτωνος γεγονέναι. οὕτω δὴ πείθεται πλάτων, καὶ ἀφικνεῖται τρίτον εἰς σικελίαν. ἀφικο-

μένου δὲ οὐκ ἐγίγνετο τῶν μετρίων, ἀλλὰ καὶ πολὺ χείρων ἢ πρότερον). τὰ μὲν γὰρ πρὸς φιλοσοφίαν, Διονύσιος οὐκ ἔτι παρεῖχεν ἑαυτὸν Πλάτωνι, οὐδὲ τοῖς λόγοις τοῖς αὐτοῦ, πειθόμενος αὖθις τοῖς τῶν διαβαλλόντων λόγοις, καὶ κελευόντων φυλάττεσθαι Πλάτωνα, ὡς ἐπιβουλεύοντα τῇ τυραννίδι μετὰ Δίωνος, μή πῃ ὑπὸ τῆς παιδείας παραποδισθείη. ἐφυλάττετο οὖν, καίπερ οὐδὲ παντάπασιν ἀνέραστος ὢν τῶν ἐκ φιλοσοφίας λόγων, οὐδὲ ἀφυής, κρατούμενος δ' ὑπό τε τῆς τρυφῆς, καὶ ἅμα δέους τῆς τυραννίδος ἀποβολῆς. τὰ δὲ πρὸς Δίωνα, πρότερον ἐῶν καρποῦσθαι τὰ αὐτοῦ χρήματα, τότε οὐκ ἔτ' εἴα τούς γε ἐπιτρόπους τοὺς ἐκείνου πέμπειν τῷ Δίωνι, ἀλλὰ καὶ τελευτῶν ἐπώλει τε τὴν οὐσίαν τὴν Δίωνος, καὶ διένεμεν οἷς ἐβούλετο. Πλάτων μὲν οὖν διά τε ταῦτα καὶ ἕτερ' ἄττα συμβάντα ἐκ Διονυσίου περί τε τοὺς Δίωνος φίλους καὶ ἑαυτόν, ὀργιζόμενος Διονυσίῳ, ἅμα δ' οὐδὲ συγχωρούμενος αὐτῷ ἐκπλεῖν, πέμπει παρ' Ἀρχύταν, καὶ τοὺς ἐν Τάραντι φίλους, φράζων τὸ πρᾶγμα ἐν οἷς ἦν. οἱ δὲ πρεσβείαν τινὰ παρὰ τῆς πόλεως ποιησάμενοι, πέμπουσι τριακόντορον, καὶ Λαμίσκον αὐτῶν ἕνα, ὃς ἐλθὼν ἐδεῖτο τοῦ Διονυσίου ἀφεῖναι Πλάτωνα. ἀφεθεὶς δ' οὕτω Πλάτων, καὶ ἀφικόμενος ἐς Πελοπόννησον, καταλαβών τε Δίωνα Ὀλυμπίασι θεωροῦντα, ἀπαγγέλλει τά περί τε τὴν οὐσίαν τὴν αὐτοῦ καὶ τοὺς φίλους γεγενημένα ἐκ Διονυσίου. ὁ δὲ θεοὺς ἐπιμαρτυράμενος, ὥρμησεν ἐπὶ τὸν κατὰ Διονυσίου πόλεμον, καὶ ἐλευθερίαν τῆς πατρίδος. ἦν δ' οὐδὲ γένει ὀθνεῖος Διονυσίῳ Δίων. τὼ γὰρ πατέρε αὐτοῖν Ἱππαρῖνός τε καὶ Διονύσιος, ἀνεψιὼ ἀλλήλοιν ἤστην. καὶ αὐτὼ ἄμφω, ἡ πόλις μεγάλου πολέμου ἐπιφερομένου ἐκ Καρχηδονίων, ἄρχοντε αὐτοκράτορε εἵλοντο ἐπὶ τὸν πόλεμον, Διονύσιον μὲν ὡς νεώτερον στρατηγόν, Ἱππαρῖνον δὲ σύμβουλον ἅτε πρεσβύτερον. ὣ ἐπειδὴ καλῶς τε καὶ εὖ διεπολεμησάτην πρὸς Καρχηδονίους, καὶ Συρακούσας τε καὶ τὴν ἄλλην Σικελίαν ἐκ τοῦ ἐπικρεμασθέντος κινδύνου ἐσωσάτην, ἠρχέτην Συρακουσῶν τε κοινῇ, καὶ τῆς ἄλλης Σικελίας τῆς πολλῆς· τελευτῶν δὲ τὸν βίον Ἱππαρῖνος, ἐπίτροπον Διονύσιον καθίστησι κατὰ τὸ οἰκεῖον διαθέμενος. καὶ τῶν θυγατέρων οὐσῶν τριῶν, Ἀνδρομάχην μὲν τὴν πρεσβυτάτην, αὐτὸς γῆμαι· τὼ δὲ λοιπὼ δύω τοῖν ἀδελφοῖν ἐκδοῦναι, Λεπτίνῃ τε δὴ καὶ Θεαρίδῃ. καὶ ταῦτα μὲν Διονυσίῳ οὕτως ἐπέπρακτο. μόνος μέντοι ἤδη λελειμμένος, τήν τε ἀρχὴν ἐς τὸ τυραννικώτερον κατεστήσατο, καὶ βιαιότερον, καὶ τὰ πρὸς Καρχηδονίους πολὺ χεῖρον διῴκει, ὥστε καὶ φόρον αὐτοῖς τάξασθαι φέρειν. ἀλλὰ Δίων Διονύσιον τὸν νεώτερον ἐπειρᾶτο μὲν διὰ Πλάτωνος, ὅπως οἷός τε γένοιτο πεῖσαι ἐς βασιλείαν Λακωνικήν τινα ἐκ τῆς τυραννίδος μεταβαλέσθαι, καὶ νόμοις δὴ ἐπιεικέσι τισὶ κατακοσμῆσαι τὴν πατρίδα· ταῦτά που καὶ αὐτῷ Διονυσίῳ, καὶ τῇ πατρίδι ἅμα κάλλιστά τε δὴ καὶ ἄριστα νομίζων. ἐπεὶ δ' αὐτῷ ἥ τε πεῖρα οὐ προὐχώρει, καὶ ἅμα ἠδικεῖτο τῇ τε φυγῇ καὶ τῇ τῆς οὐσίας διαφορήσει, ὥρμητο ἐπὶ τὸν πόλεμον, καὶ τὴν δι' ὅπλων τῆς τυραννίδος κατάλυσιν. καὶ τούς τε ἄλλους φίλους, καὶ δὴ καὶ Πλάτωνα παρεκάλει συλλαμβάνεσθαί οἱ τοῦ πολέμου. Πλάτων δὲ τοὺς μὲν ἄλλους συμπαρακαλεῖν τῶν φίλων ἐκέλευεν, εἰ βούλοιτο· ἑ δὲ οὐκ ἂν πολεμήσειν Διονυσίῳ. χάριν γὰρ αὐτῷ εἰδέναι μετά γε θεούς, ὅτι τοῖς διαβάλλουσιν ἔφη ἐπιβουλεύειν, μετὰ σοῦ αὐτῷ τε καὶ τῇ τυραννίδι, καὶ κελεύουσιν ἀποκτιννύναι, οὐκ ἐπείσθη, ἡγούμενος ἴσως καὶ ἀληθεύειν τοὺς διαβάλλοντας. ὁ δ' ὅμως ἔδωκέ τί μοι αἰδοῦς. αἰτίαι μὲν δὴ αὗται τοῦ Δίωνα Διονυσίῳ ἐκπεπολεμῶσθαι ἐγένοντο. τὸ δὲ ἀπὸ τούτου, ὡς θᾶττον ἔκ τε Πελοποννήσου, καὶ Ἑλλάδος τῆς ἄλλης ξενολογήσας Δίων, καὶ ἀπὸ Ζακύνθου τοῖν δυοῖν στρογγύλοιν πλοίοιν ἀναχθείς, κατέπλευσε μὲν τῆς Σικελίας ἐς Μινώαν πόλιν, ἣν ἔκτισε μὲν Μίνως ἐκεῖνος ὁ Κρητῶν βασιλεύς, ὅτε ἐς Σικελίαν κατὰ Δαιδάλου ζήτησιν ἀφιγμένος, Κωκάλῳ τῷ Σικανῶν βασιλεῖ ἐπεξενώθη· τότε δὲ τοῖς Καρχηδονίοις ὑπήκουε, καίπερ τῆς Ἀκραγαντίνων πρότερον οὖσα μοίρας. Δίωνι δὲ φίλος ὢν ὁ ταύτης τῆς πόλεως ἐπιστάτης, Σύναλος τοὔνομα, ἐδέξατό τε προθύμως· καὶ δεηθέντι πεντακισχιλίας πανοπλίας, ἃς ἐπὶ τοῖν πλοίοιν ἦγε πρὸς τὰς Συρακούσας, ἁμάξαις συμπαρακομίσαι, οἱ ὑπήκουσεν. αὐτὸς δὲ Δίων τοὺς μισθοφόρους ἀνειληφώς, ὄντας οὐ πλείους χιλίων, ᾔει μὲν ἐπὶ τὰς Συρακούσας. ἐν δὲ τῇ παρόδῳ, Ἀκραγαντίνους καὶ Γελῴους καὶ Καμαριναίους, ἔτι δὲ καὶ τῶν τινας Σικανῶν καὶ Σικελῶν, πείσας συνελευθεροῦν Συρακουσίους, ταχὺ πάμπολύ τι πλῆθος ἀνδρῶν ἐνόπλων ἦγεν ἐπὶ τὴν τοῦ τυράννου κατάλυσιν. ὡς δ' ἐπὶ τοὺς ὅρους ἀφίκετο τῆς Συρακουσίας, ἀπήντα μὲν αὐτῷ πλῆθος ἀνδρῶν ἔκ τε τῆς χώρας καὶ τῆς πόλεως, ὧν τὰ ὅπλα Διονύσιος παρῄρητο ἀπιστῶν. ὁ δὲ ταῖς πανοπλίαις, ἃς ἐπεφέρετο, ὥπλιζε τοὺς ἐπιδεομένους αὐτῶν. καὶ παρῆλθεν ἐς τὴν πόλιν, οὐδενὸς ἐναντιουμένου. Διονύσιος μὲν γὰρ ἔτυχε τότε οὐ παρὼν

 τῇ πόλει,

τῇ πόλει, ἀλλὰ περὶ τὸν ἰόνιον διατρίβων μετὰ τοῦ πλείονος μέρους τῆς δυνάμεως, τά τε ἐκεῖ πράγματα διοικῶν. οἱ δ' ἐπὶ τῇ ἄκρᾳ καταλελειμμένοι φύλακες, οὐκ οἰόμενοι ἀξιόμαχοι εἶναι Δίωνι, καὶ συρακουσίοις, ἐς μάχην οὐκ ἀντεπεξῄεσαν. Διονύσιος δὲ τὰ περὶ Δίωνος πεπυσμένος, κατέπλευσέ τε ἐς συρακούσας ἡμέραις ἑπτὰ ὕστερον τῆς Δίωνος καθόδου. καὶ ἐς τὴν ἄκραν παρελθὼν ἡμέρας τέ τινας ἐπισχὼν, διδοὺς ἅμα καὶ ἐλπίδα τῆς συμβήσεσθαι, ἐπαφίησιν ἄφνω τοῖς συρακουσίοις τοὺς μισθοφόρους. οἱ σὺν βοῇ πολλῇ προσπεσόντες τοῖς τὸ διατείχισμα φυλάττουσιν, ὃ συρακούσιοι ἐκ θαλάττης ἐς θάλατταν ποιούμενοι, τήν γε ἄκραν ἀπετείχιζον, ἐκράτησάν τε. καὶ εἴσω τοῦ τείχους εἰσδύντες, συνέβαλον τοῖς συρακουσίοις, ἀπηντηκόσιν ἤδη πρὸς αὐτῷ τῷ τείχει, Δίωνος αὐτῶν ἡγουμένου. γενομένης δὲ μάχης καρτερᾶς, ἐκράτησαν συρακούσιοί τε καὶ Δίων, οὐκ ἄνευ τραύματος. οἱ δὲ Διονυσίου ἡττημένοι τε καὶ συχνοὺς τῶν σφετέρων ἀποβεβληκότες, ἐς τὴν ἀκρόπολιν αὖθις συνεστάλησαν. καὶ Δίων τὸ ἀποτείχισμα ἐπέραινεν, ἕως ἐς τὸ ἀσφαλὲς αὐτὸ κατεσκευάκει. μετὰ δὲ ταῦτα, καταπλεῖ μὲν ἐς συρακούσας καὶ ἡρακλείδης, φυγὰς καὶ οὗτος ὑπὸ Διονυσίου γεγονὼς, ὑπὸ δὲ Δίωνος ναύαρχος ἐν πελοποννήσῳ τῶν ἐκεῖ παρασκευασθεισῶν νεῶν μακρῶν καταλελειμμένος· διὰ δέ τινας χειμῶνας τῆς Δίωνός τε καθόδου, καὶ συρακουσίων τῆς ἐλευθερώσεως ὑστερηκὼς, ἧκεν ἄγων ναῦς μὲν μακρὰς εἴκοσι, στρατιώτας δὲ περὶ πεντακοσίους καὶ χιλίους, ὃν αὐτὸν ὄντα οὐκ ἄσημον ἄνδρα, οὐδ' ἀδόκιμον δοκοῦντα, συρακούσιοι ναύαρχόν τε εἵλοντο τῶν τε παρὰ σφίσι νεῶν, ὧν αὐτὸς ἄγων ἧκε. καὶ τεταγμένος μετὰ Δίωνος, κοινῇ ἤδη πρὸς Διονύσιον διεπολέμουν. μετ' οὐ πολὺ δὲ καὶ Φίλιστος, ἀνὴρ πιστότατός τε ἀεὶ, καὶ χρησιμώτατος τοῖς τυράννοις γεγονὼς, ὑπὸ Διονυσίου στρατηγὸς ἀποδειχθεὶς, διεναυμάχησε πρὸς συρακουσίους παραπλησίας ἔχοντας καὶ αὐτοὺς ναῦς. καὶ γενομένης καρτερᾶς τῆς ναυμαχίας, Φίλιστος, καίπερ λαμπρῶς ἠγωνισμένος, ἡττήθη παρὰ τοσοῦτον, ὥστε καὶ κινδυνεύων ζωὸς ὑπὸ συρακουσίων ἁλίσκεσθαι, ἑαυτὸν ἀποσφάξαι. μετὰ δὲ ταύτην τὴν ναυμαχίαν, Διονύσιος προηττημένος μὲν κατὰ τὴν πόλιν, ἡττημένος δὲ καὶ τότε τῇ ναυμαχίᾳ, ἀποβεβληκὼς δὲ καὶ τὸν τῶν φίλων τὸν δοκιμώτατον, ἐπειρᾶτο μὲν συμβῆναί τι πρὸς συρακουσίους, ὥστε παραδοὺς τὴν ἀκρόπολιν αὐτοῖς, αὐτὸς μετὰ τῶν μισθοφόρων καὶ χρημάτων ἐς ἰταλίαν ἐκπλεῦσαι. οὐ τυχὼν δ' οὐδὲ τούτου, καίπερ καὶ Δίωνος συρακουσίοις τὰ διδόμενα δέχεσθαι συμβουλεύοντος, ἤλπιζον γὰρ οὐ πολλοῦ χρόνου ἐκπολιορκήσειν, διὰ τὸ μηδὲ σῖτον λέγεσθαι ἐν τῇ ἄκρᾳ εἶναι ἱκανὸν, οὕτω σκοπήσας ἐκ τῶν παρόντων τὸ κράτιστον αὐτῷ, ἐν μὲν τῇ ἄκρᾳ κατέλιπε τοὺς ἱκανοὺς φρουρούς· αὐτὸς δ' ἀναλαβὼν τά τε τιμιώτατα, καὶ τῶν μισθοφόρων τοὺς πολλοὺς, ἔλαθεν ἐκπλεύσας ἐς τὴν ἰταλίαν. μετὰ δὲ ταῦτα, διενεχθέντων συρακουσίων πρὸς ἀλλήλους, καὶ τῶν μὲν ἡρακλείδῃ δεῖν φασκόντων τὴν τῶν ὅλων ἡγεμονίαν ἐπιτρέπειν, ὡς τοῦτον μὲν οὔποτ' ἂν τυραννεύσοντα, Δίωνα δ' ἂν εἰ Διονυσίου ἐς τέλος περιγένοιτο, τῶν δὲ καὶ Δίωνα μᾶλλον αἱρουμένων, ἔτι δ' οὐδὲ τοῖς ξένοις τοῖς ἐκ πελοποννήσου τε καὶ τῆς ἄλλης ἑλλάδος τοῖς σφᾶς ἠλευθερωκόσιν ἀποδιδόντων τοὺς μισθοὺς, καὶ διὰ ταῦτα καὶ αὐτῶν συστραφέντων τε καὶ Δίωνα ἀξιούντων ἀναδέξασθαί τε σφῶν τὴν ἡγεμονίαν, καὶ παρὰ συρακουσίων ὡς κοινῶν ἐχθρῶν λαμβάνειν πειρᾶσθαι, Δίων τὸ μὲν πρῶτον ἀντιλέγων, ἔπειτα οὐ δίκαιον κρίνας προδοῦναι τοὺς ἑταίρους γεγονότας, καὶ πρὸς τὴν κάθοδον αὐτῷ ὑπηρετηκότας, ἀνεδέξατό τε τὴν ἡγεμονίαν τῶν ξένων, ὄντων περὶ τρισχιλίους, καὶ ἐς λεοντίνους σὺν αὐτοῖς ἀπεχώρησεν. ἀποχωρῶν δὲ Δίων, καὶ τοῖς συρακουσίοις καθ' ὁδὸν ἐπιτιθεμένοις μαχεσάμενος, ἐκράτησε μὲν παραπολύ. περὶ δὲ νεκρῶν ἀναιρέσεως πέμψασιν, οὐ τοὺς νεκροὺς μόνον ἀπέδωκεν, ἀλλὰ καὶ τοὺς ζωοὺς ἑαλωκότας τῶν συρακουσίων, ἀπέλυσεν ἄνευ λύτρων. ἐπεὶ δὲ Διονύσιος ἐκ λοκρίδος τῆς ἰταλίας, ὅθεν δὴ καὶ ἡ μήτηρ αὐτῷ Δωρὶς ἦν, σῖτόν τε καὶ τἄλλα, ὁπόσα πρὸς φρουρὰν ἐπιτήδεια παρασκευασάμενος, ἔπεμπε τοῖς ἐν τῇ ἄκρᾳ ἐν φορτηγοῖς ναυσί, συμπέμπων καὶ τριήρεις τὰς ἀσφαλῶς τὸν φόρτον συμπαρακομιούσας, καὶ ἐπ' αὐταῖς νύψιον τὸν νεαπολίτην ἡγεμόνα, ἄνδρα δόκιμον, αἱ μὲν φορτηγοὶ νῆες κατῆραν ἐς τὴν ἄκραν, ὀλίγου δεῆσαν συρακουσίοις ὁμολογῆσαι ὑπὸ σιτοδείας, καὶ τὸν φόρτον ἐξεκόμιζον. αἱ δὲ τριήρεις ἠναγκάσθησαν διαναυμαχῆσαι πρὸς συρακουσίους. καὶ γενομένης τῆς ναυμαχίας, ἐκράτησαν οἱ συρακούσιοι. κρατησάντων δὲ, καὶ τοῖς θεοῖς θυσάντων ἐπινίκια, ἐπ' εὐωχίας τε ἐτράποντο, καὶ πότους καὶ αὐλήματα δι' ἡμέρας, ἄχρι δὴ καὶ βαθείας ἑσπέρας. ὃ δὴ συνιδὼν Νύψιος, καὶ τῷ καιρῷ ἄριστα χρησάμενος, κλίμακας προσθεὶς τῷ διατειχίσματι, ἐκράτησέν τε καθεύδουσι τοῖς

φυλάττουσι

φυλάττουσι περιτυχὼν ὑπὸ τῆς μέθης. καὶ τότε μὲν εὐθὺς κατέπαυσε. τοὺς δὲ συστρατιώτας τῇ πόλει ἐφῆκεν. οἳ καὶ ἐσπεσόντες ἐς τὴν πόλιν, ἔκτεινον μὲν πάντα, ᾧ προσύχοιεν. ἦγον δὲ καὶ ἔφερον γυναῖκάς τε καὶ χρήματα ἐν τὴν ἀκρόπολιν. συρακούσιοι δὲ οὔτε νύκτωρ ἔτι, οὔτ᾽ ἐπειδὴ ἡμέρα ἐγένετο, εἶχον, ὅ,τι χρήσονται τῷ πράγματι, οὐδ᾽ ἀμύνειν αὐτοὶ ἑαυτοῖς. ἀλλ᾽ ἐπειδή τις ἐμνήσθη δίωνος δεῖσθαι τὸ πρᾶγμα, ὡς ταύτην καὶ μόνην οὖσαν σωτηρίαν, ἅπαντές τε ἐπήνουν εὐθύς. καὶ πέμπονται τῶν ἀρχόντων καὶ ἱππέων τινὲς, ὡς δίωνα πρεσβεύσοντες, οἳ καὶ ἀφικόμενοι ἐν λεοντίνοις δέλυς, ἱκέτευον δίωνα συρακουσίους μὴ περιϊδεῖν ἀπολλυμένους, ἀλλ᾽ ὡς ἱκανὴν τὴν δίκην ὑπὲρ ὧν ἐν αὐτῷ συρακούσιοι ἐξήμαρτον δεδωκόσιν ὑπὸ τῶν πολεμίων, μηκέτι μνησικακεῖν, δίων δ᾽ ὑπακούσας τε αὐτοὺς καὶ τούς γε ξένους παρακαλέσας, συσκευασάμενος εὐθὺς, ἐχώρει διὰ τῆς νυκτὸς, καὶ ἀφικνεῖται ἐπὶ συρακούσας ἐν ἕω. ἀφικόμενος δὲ καταλαμβάνει τοὺς τοῦ τυράννου μισθοφόρους, οὐ φονεύοντας μόνον, καὶ ἁρπάζοντας, καὶ λῃζομένους, ἀλλ᾽ ἤδη καὶ πῦρ ταῖς οἰκίαις ἐνιέντας. εὐθὺς οὖν συντάξας τούς θ᾽ ἑαυτοῦ, καὶ συρακουσίους, καὶ συμπεσὼν τοῖς τοῦ τυράννου τεταγμένος ἀτάκτοις, κτείνας μὲν συχνοὺς, τοὺς δὲ τρεψάμενος, ἐν τὴν ἀκρόπολιν αὖθις συνέστειλε. καὶ τὸ διατείχισμα, ὃ κατέσκαπτο, αὖθις ἀνίστη. ἐπὶ δὲ τούτῳ τῷ ἔργῳ λαμπρότητι οὐδὲν τοῦ προτέρου λειπομένῳ, συρακούσιοι τὸν δίωνα μὲν ἄρχοντα αὐτοκράτορα μόνον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν αἱροῦνται. ὁ δὲ καὶ ἡρακλείδῃ τῆς κατὰ θάλατταν μεταδίδωσιν ἀρχῆς. ἀλλ᾽ ἡρακλείδης γε ἀεί τι μοχθηρὸν πράττων οὐκ ἐπαύετο, ἀεὶ μὲν δημοκοπῶν, καὶ τὴν ἀρχὴν τοῦτον τὸν τρόπον πειρώμενος ἐν ἑαυτῷ πᾶσαν περιστῆσαι. τότε δὲ καὶ ἐκ τοῦ φανεροῦ ἐπιχειρῶν δίωνα ἀποκλείειν τῆς ἐς τὴν πόλιν ἐσόδου, ἐπανιόντα διὰ τὸ στρατοπέδου, ἐλέγετο δὲ καὶ πρὸς δίωνα κρύφα συντίθεσθαι διὰ φαράκου τοῦ σπαρτιάτου, ὃς διονυσίῳ ἐστρατήγει. εἶτα δίωνι πεισάμενος, καὶ ὅρκους δοὺς τοὺς μεγίστους διὰ γαισύλου ἑταίρου σπαρτιάτου ἐπιεικοῦς ἀνδρὸς, οὐδ᾽ οὕτως ἐπαύσατο δημοκοπῶν, καὶ ἀεί τι κατὰ δίωνος κινῶν ὑπὸ βασκανίας, οὔτε ναυαρχῶν ἔτι, οὔτ᾽ ἐπειδὴ συρακούσιοι τὸ ναυτικὸν οὐδὲν αὐτοῦ δεῖσθαι ἡγούμενοι κατέλυσαν, ἰδιωτεύων, ἕως ὑπὸ τῶν δίωνος φίλων, ἐπειδὴ καὶ ἡ ἀκρόπολις δίωνι ὑποχείριος ἐγεγόνει, ἀπεσφάγη. βουλομένων μὲν καὶ πάλαι αὐτὸ δρᾶν, ὑπὸ δὲ δίωνος τέως μὲν κωλυομένων, τότε δὲ καὶ αὐτοῦ ἐνδόντος, ἐπειδὴ τῇ πολιτείᾳ, ἣν καθιστάναι ἤδη διενοεῖτο, ἑώρα τὸν ἄνθρωπον διὰ μοχθηρίαν, μέγα ἐναντίωμα ἐσόμενον. οὕτω δὲ τετελευτηκότι ἡρακλείδῃ, δίων ὅμως τάς τε ταφὰς λαμπρὰς παρεσκεύασε, καὶ αὐτὸς τὸν νεκρὸν μετὰ τοῦ στρατεύματος ἅμα ἑπόμενος, προύπεμψεν ἄχρι πρὸς τὸν τάφον. ἀλλὰ τοῦτο μὲν ὕστερον. ἀπολλοκράτης δ᾽ ὁ διονυσίου, ᾧ ἡ ἀκρόπολις ἐπετέτραπτο, ἐπειδὴ πολιορκουμένῳ μὲν αὐτῷ, βοηθοῦντος δ᾽ οὐδενὸς, ὅ τε σῖτος ἐπέλιπεν ἤδη, καὶ τὸ μισθοφορικὸν δυσχεραίνειν ἐγίγνετο, ὁμολογήσας δίωνι, καὶ τὴν μὲν ἀκρόπολιν ἐκείνῳ παραδοὺς μετὰ τῶν τε ὅπλων, καὶ κατασκευῆς τῆς ἄλλης, αὐτὸς δὲ τριήρεις μὲν πέντε πληρωσάμενος, ἀναλαβὼν δὲ τήν τε μητέρα, καὶ ἀδελφὰς, ἀπέπλευσε πρὸς τὸν πατέρα, τὸ ἀσφαλὲς αὐτῷ δίωνος παρέχοντος. δίων δὲ τὴν μὲν ἀκρόπολιν, ἐπεὶ παρέλαβε, τοῖς συρακουσίοις παρέδωκεν. αὐτὸς δὲ τήν τε ἀδελφὴν ἀριστομάχην, καὶ τὸν υἱὸν τὸν ἑαυτοῦ ἱππαρῖνον παραλαβὼν, καὶ ἀρέτην τὴν γυναῖκα τὴν οἰκίαν ᾤκει. ταύτην τὴν ἀρέτην διονυσίου τε τοῦ πρεσβυτέρου, καὶ ἀριστομάχης ταύτης θυγατέρα οὖσαν, ὁ μὲν πατὴρ δίδωσι δίωνι· ὑπὸ δὲ τοῦ νεωτέρου διονυσίου, ἐπειδὴ αὐτῷ τὰ πρὸς δίωνα ἐκπεπολέμωτο, τιμοκράτει ἑνὶ τῶν φίλων πρὸς ἀνάγκην συνῳκισμένην, δίων συγγνοὺς αὐτῇ ἐπὶ τῇ ἀνάγκῃ, ἐν τὴν οἰκίαν αὖθις ἀνέλαβεν. ὢν δ᾽ ἐν τούτοις δίων, διενοεῖτο μὲν ἤδη καὶ τὴν πολιτείαν καθιστάναι, καὶ ἐν κόρινθον ἔπεμπε καλῶν ἐκεῖθεν τοὺς συλληψομένους πρὸς τὴν νομοθεσίαν, ἅμα μὲν εἰδὼς τὴν πόλιν οὐκ ἀκράτῳ δημοκρατίᾳ μεμιγμένην, ἅμα δὲ καὶ τιμῶν τὴν μητρόπολιν. ἔκτειναν δὲ καὶ ἡρακλείδην οἱ δίωνος φίλοι, δημοκοπίας οὐ παυόμενον, οὐδὲν μεῖον τυραννίδος κακοῦ, ἀλλὰ καὶ πάνυ δῆλον ὄντα ἀγαθῇ πολιτείᾳ ἐναντιωσόμενον. ἀλλ᾽ οὐκ ἔλαθε καὶ τέλος τοῖς διανοηθεῖσιν ἐπιθεῖναι δίων· ἀλλ᾽ ἐν τούτοις ὢν, ὑπὸ καλλίππου τοῦ ἀθηναίου, ἑνὸς τῶν ἑταίρων, μιαρωτάτου περὶ αὐτὸν γεγονότος, κτείνεται. οὗτος ὁ κάλλιππος δίωνι φεύγοντί τε, καὶ ἀλωμένῳ κατὰ τὴν ἑλλάδα, ἑταῖρος γεγονὼς ἅμα ἀδελφῷ αὐτοῦ, οὐκ ἐκ παιδείας, ἀλλ᾽ ἐκ τῆς εἰωθυίας τοῖς πολλοῖς ἑταιρείας, συνῆν παρά τε τὴν κάθοδον, καὶ τὰς ἄλλας πράξεις. ἔπειτα νεωτέρων ἐπιθυμήσας πραγμάτων, ἐπειδὴ καὶ ἡρακλείδης ἐκποδὼν ἦν, ἀνὴρ μέγα ἐν συρακούσαις ἰσχύων, ἤρξατο μὲν διαφθείρειν

φθείρειν τῶν ξένων τινάς, παρασκευάζων κατὰ δίωνος, καὶ δι' ἑαυτοῦ τὴν ἡγεμονίαν αὐτῷ περιποιῶν, καὶ τοῦτο ποιῶν, οὐ παντάπασιν ἔλαθεν. ἀλλὰ δίων μετὰ τὸν ἡρακλείδου φόνον, καὶ τὸν καλλίππου ὤκνει προσθῆναι. ὁ δὲ ταῖς γυναιξὶ προσελθών, ἐπειδὴ ἔγνω οὐ παντάπασι λανθάνων, ἐξαρνός τε ἦν μηδὲν τι νεωτερίζειν. καὶ ἅμα ὅρκον ὤμοσε τὸν μέγιστον νομιζόμενον, μηδὲν νεώτερον μήτε ποιεῖν, μήτε ποιήσειν περὶ δίωνα. οὕτω δὲ ὀμωμοκὼς ἐν τῇ αὐτῇ θεοῦ τῇ ἑορτῇ, ἧς ἐν τῷ ἱερῷ ὀμωμόκει, παραστήσας δίωνι τῶν μισθοφόρων τοὺς διεφθαρμένους, αὐτῷ δὲ ἐπαφεὶς τοὺς μιαρωτάτους αὐτῶν ὄντας ζακυνθίους, δι' ἐκείνων κτείνει αὐτός τε, καὶ ὁ ἀδελφός, τοῖς φονεῦσι παρεστῶτε ἐπικούρω, ὅπλα ἔχοντε ἐν ταῖς χερσίν. ἐπεὶ δὲ δίωνα ἀπεκτόνει κάλλιππος, χρόνον μέν τινα οὐ πολὺν διῴκει τὰ κατὰ συρακούσας. ἔπειτα κατάνην ὡρμημένος λαβεῖν, συρακούσας ὑπὸ τῶν δίωνος φίλων ἀπέβαλε, προστησαμένων ἱππαρῖνόν τε τὸν διονυσίου, καὶ τὸν ἕτερον ἱππαρῖνον τὸν δίωνος. ἀποβεβληκὼς δὲ συρακούσας κάλλιππος, ἐπέθετο μεσσηνίοις. ὅπου τῶν στρατιωτῶν οὐκ ὀλίγους ἀπολέσας, ἐν οἷς ἦσαν καὶ οἱ δίωνα ἀπεκτονότες, οὐδεμιᾶς τε πόλεως αὐτὸν δεχομένης τῶν ἐν σικελίᾳ, ἀλλὰ πάντων ὡς μιαρὸν προβαλλομένων, ῥήγιον κατέσχεν, ἐκεῖ δὲ οὐ πολὺν χρόνον κακῶς διαγεγονώς, καὶ λυπρῶς τοὺς μισθοφόρους διατρέφων, ὑπὸ λεπτίνου καὶ πολυπέρχοντος ἀνῃρέθη, τῷ αὐτῷ ᾧ καὶ δίων ἀνῄρητο ξιφιδίῳ, κατὰ τύχην χρησαμένων, γνωσθέντι τῇ τε βραχύτητι κατὰ τὰ λακωνικά, καὶ τῷ γλαφυρῷ τῆς ἐργασίας, ὡς κἂν τοῦτο εἰκότως ἂν δόξαι δίωνι δίκην τίνοντα, οὕτω ἀνῃρῆσθαι. τοιαῦτα μὲν δὴ τὰ κατὰ κάλλιππον. τὴν δὲ συρακουσίων πόλιν, ἄλλον ἐξ ἄλλου μεταβάλλουσαν τύραννον, τελευτῶν διονύσιος δεκάτῳ ἔτει μετὰ τὴν δίωνος κάθοδον, αὖθις κατέσχε, παραδόξως μὲν ὑπὸ μικρᾶς δυνάμεως μεγάλαις πεφραγμένην δυνάμεσι τυραννίδα ἀποβεβληκώς, παραδόξως δὲ καὶ ἀνειληφὼς ἐκ φυγάδος τε καὶ ταπεινοῦ καὶ πολλὰ δεινὰ πεπονθότος. ὃς θυγατέρων τε ἐπεῖδε καταπορνευθείσας ἐν ταύτῃ τῇ μεταβολῇ, καὶ τὴν γυναῖκα, τὴν δ' αὐτὴν καὶ ἀδελφὴν ὑπὸ τῶν ἐχθρῶν, ζώσας μὲν ταῖς ἀσελγεστάταις ἡδοναῖς τὸ σῶμα παρανομηθείσας, ἔπειτα καὶ μετὰ τῶν τέκνων καταποντωθείσας· ἀλλ' οὕτω πονηρῶς πεπραγώς, ξένους τινὰς ὅμως συλλέξας, τὴν τυραννίδα αὖθις ἀνέλαβε, νυσαῖον τὸν τότε κρατοῦντα τῶν συρακουσῶν ἐκβεβληκώς. συρακουσίων δὲ οἱ μὲν ἐν τῇ πόλει μένοντες, ἐδούλευον χαλεπωτέρῳ ἢ πρότερον τυράννῳ, διὰ τὰς συμφορὰς πρὸς πάντας ἀπηγριωμένῳ τὴν ψυχήν. οἱ δὲ φεύγοντες, πρὸς ἱκέτην κρατοῦντα λεοντίνων ἐτρέποντο, μοχθηρὸν μὲν ἄνδρα, καὶ τῶν ἀποδεδειγμένων τυράννων οὐδενὸς βελτίω, ἄλλην δ' οὐκ ἔχοντες τέως ἀποστροφήν. οὗτος ἱκέτης, συρακούσιος μὲν ὢν τὸ γένος, τῶν δὲ διωνείων φίλων γεγονώς, καὶ ἔπειτα κάκιστος περὶ τὸ γένος τὸ δίωνος γενόμενος, ἐπολέμει καὶ τότε διονυσίῳ τὴν τυραννίδα διαπραττόμενος, ὅπως διονύσιον ἐκβαλὼν αὐτὸς τυραννήσειεν, ὡς ὕστερον διεφάνη. ἐπεὶ μέντοι ἐδόκει τοῖς περὶ αὐτὸν συρακουσίοις ἐς κόρινθον πρεσβείαν πέμψαι, κἀκεῖθεν βοήθειάν τινα εὑρίσκεσθαι, οὕτως ἐπὶ διονύσιον πειρᾶσθαι. τέως μὲν οὖν ἔπραττε καὶ αὐτὸς ἐν τῷ φανερῷ, καὶ τὴν πρεσβείαν συνέπεμπε. κρύφα δὲ καρχηδονίους μετεπέμπετο, ὅπως δι' ἐκείνων διονύσιον ἐκβαλών, τυραννήσειεν αὐτός, τὴν συμπάσης σικελίας ἡγεμονίαν αὐτοῖς προτείνων. οὐ γὰρ ἄδηλον ἦν, ἃ ἐλπίσαντες καρχηδόνιοι, ἐκείνῳ ἔμελλον συλλήψεσθαι. ἐπεὶ δ' οὖν ἥ τε πρεσβεία ἀφίκετο ἐς κόρινθον, καὶ κορινθίοις ἡ βοήθεια ἐψήφιστο, καὶ ἐν παρασκευαῖς ἤδη ἦν, ἐπιστέλλει ἱκέτης κορινθίοις, μηκέτι δεῖν αὐτοὺς πολυπραγμονεῖν, ὡς αὐτοῦ μετὰ καρχηδονίων τὸν τύραννον καθελοῦντος, οὓς αὐτὸς ἐκείνων βραδυνόντων μεταπέμψαιτο. φυλάττεσθαι δὲ καὶ καρχηδονίους τήν τε θάλατταν φρουροῦντας, καὶ οὐκ ἐάσοντας στόλον οὐδένα ἐς σικελίαν καταπλεύσειν. ἤδη γὰρ καὶ ἡ βοήθεια ἀφῖκτο ἐκ καρχηδόνος τῷ ἱκέτῃ, μάγων στρατηγὸς ἐπὶ νεῶν οὐκ ὀλίγων. κορίνθιοι δὲ ἐπὶ τούτοις καὶ μᾶλλον ὀργισθέντες, ἔπεμπον τὴν βοήθειαν ἤδη, καὶ ἐπισπεύδοντες τιμολέοντα τὸν τιμοδήμου στρατηγὸν μετὰ στρατιωτῶν χιλίων ἐπὶ τριήρων δέκα. οὗτος τιμολέων ἔτυχε μὲν οὐκ ὀλίγοις πρότερον ἔτεσιν ἀδελφὸν πρεσβύτερον τιμοφάνη, τυραννεύοντα τῆς πόλεως, ἀπεκτονώς. ὃν πρότερον ὑπὲρ τῆς πόλεως μαχόμενον πρὸς ἀργείους, καὶ κινδυνεύοντα ἐσχάτως, αὐτὸς ἔσωσε περιφανῶς προστάς, καὶ ὑπερασπίσας· τότε δὲ τυραννεύοντα τῆς πόλεως, καὶ συχνοὺς τῶν πρώτων ἀπεκτονότα πολιτῶν ἀκρίτους, ἐπειδὴ λέγων καὶ συμβουλεύων, μεταβαλλόμενον ζητεῖν τινα τῶν ἡμαρτημένων πρὸς τοὺς πολίτας ἐπανόρθωσιν, οὐδαμῶς ἔπειθεν, ἀπέκτεινεν. ἔπειτα τῆς μητρὸς αὐτῷ καταρωμένης, καὶ οὐδὲ προσιδεῖν ἐθελούσης,

ἐθελησάσης, καί τινων καὶ ἄλλων μεμφομένων ὡς δὴ ἀδελφοῦ φονέα, τῶν τοῦ τυράννου φίλων γεγονότων, ἀθυμήσας, τέως μὲν καθ' αὑτὸν διῃτᾶτο, συχνόν γε ἔτος τοῖς κοινοῖς οὐ προσιών, οὐδ' ἀρχὴν ἐν τῇ πόλει οὐδεμίαν μετακεχειρικώς. τότε δὲ ἐπειδὴ ζητούντων τῶν ἀρχόντων τὸν ἡγησόμενον τοῦ στόλου, ὠνόμασέ τις Τιμολέοντα τὸν Τιμοδήμου, ἅπασιν ἔδοξε κατὰ θεὸν μνησθῆναι τοῦ ἀνδρός. οὐ γὰρ ἂν εὑρήσειν ἄλλον ἐπιτηδειότερον οὐδένα ἐπὶ τοιαύτῃ πρᾶξαι. καί τις αὐτῷ τῶν γε ἐπιεικῶν ἀνδρῶν στρατηγῷ ἤδη ᾑρημένῳ, νῦν σε ἔφη ὦ Τιμολέων, ἐκεῖνο μεμνῆσθαι, ὡς ἐὰν μὲν καλῶς ἀγωνισώμεθα, τύραννον δόξομεν ἀπεκτονέναι· ἐὰν δὲ φαύλως, ἀδελφόν. ἐπεσήμηνε μὲν οὖν ἐπὶ τῇ αἱρέσει τὴν ἐσομένην λαμπρότητα τῶν πράξεων, καὶ τὸ ἐκ τοῦ θεοῦ ἄττα ἄλλα τε καὶ ἐς Δελφοὺς ἀφιγμένῳ, καὶ τεθυκότι ἐπὶ τῇ αἱρέσει τῆς γε στρατηγίας, ἐπ' ἐξόδῳ τε ἤδη ὄντι τοῦ ἱεροῦ, ταινία τις τῶν τῷ θεῷ περὶ πολλοῦ ἀνατεθειμένων, μετέωρος αἰωρουμένη ἀπερραγεῖσα, τῇ κεφαλῇ περιπίπτει τῇ τοῦ Τιμολέοντος, ὡς δόξαι ἂν ὑπὸ τοῦ θεοῦ αὐτὸν στέφεσθαι. ἔτι τε ἀνηγμένῳ ἤδη μετὰ τριήρων, ὧν ἦσαν Κορίνθιαι μὲν ἑπτά, Κερκυραῖοι δὲ δύο, καὶ Λευκαδία μία, καὶ ὄντι ἐν πλῷ σέλας κατ' οὐρανὸν ὀφθὲν δεξιόν, καὶ προσδεδραμηκός, ἐφ' ὃ δὴ αἱ νῆες ᾔεσαν, πολλὴν καὶ τοῦτο τοῦ ἐς τὸν στόλον κατορθώσειν τι λαμπρὸν παρεῖχεν ἐλπίδα. ἀλλ' αἱ ἀγγελίαι δειναὶ δὴ ἦσαν, ὡς κρατοίη μὲν Ἱκέτης τῆς Συρακουσίων πόλεως, Διονύσιον δὲ οὖν τὴν ἀκρόπολιν ἐπὶ τὴν νῆσον καλουμένην, συνεσταλμένον ἀποτειχίζοι. Καρχηδονίων δὲ πάμπολυς στόλος αὐτῷ πάρεστι σύμμαχος. αὗται δὲ αἱ ἀγγελίαι ἀθυμίαν ἂν παρεῖχον αὐτῷ τε Τιμολέοντι, καὶ τοῖς στρατιώταις, μὴ οὐδ' ἐπιβήσεσθαι Σικελίας οἷοί τε γένωνται. καί τοι ἐκάλει Ἀνδρόμαχος ὁ Ταυρομενίου δυνάστης, ὡς ἑαυτὸν δυναστῶν τῶν τότε ἐπιεικέστατος, ἐλπίδας δοὺς τοῦ κατὰ πρᾶξαι ἐφ' ἃ ὥρμητο, ὡς οὐθ' Ἱκέτῃ, οὔτε Διονυσίῳ τοὺς ἀνθρώπους εὔνους ὄντας, καὶ ἀσμένους ἂν αὐτῷ Τιμολέοντι προσθησομένους. τούτου Ἀνδρομάχου Τίμαιος, ὁ τὰς ἱστορίας συγγεγραφώς, ἦν. ἀλλὰ Τιμολέων τὴν Ἰταλίαν τέως παραπλέων, ἀφικνεῖται ἐς Ῥήγιον. τὸ δὲ Ῥήγιον τῆς Ἰταλίας ἐστὶ πρὸς τῷ πορθμῷ τῷ διαῤῥέοντι τήν τε Ἰταλίαν καὶ Σικελίαν, ἔνθα περιτυγχάνει Καρχηδονίων τριήρεσιν εἴκοσι, καὶ ἐπ' αὐτῶν πρεσβείᾳ Ἱκέτου ἀξιούσῃ, αὐτὸν μὲν Τιμολέοντα ὡς Ἱκέτην ἀφικέσθαι μόνον, σύμβουλον αὐτῷ συνεσόμενον, τοὺς δὲ στρατιώτας καὶ τριήρεις ἀναπέμπειν ὀπίσω αὖ ἐς Πελοπόννησον. ὡς δὴ οὐδὲν αὐτῷ δέον ἐς τὰ παρόντα πράγματα, καὶ μὴ δεῖν οὖν αὐτοὺς δαπανᾶν περίεργόν τινα δαπάνην. ταῦτα τῆς πρεσβείας λεγούσης, ἔμελλον, εἰ μὴ πείθοιτο τούτοις Τιμολέων, ὡς πολεμίῳ αὐτῷ αἱ Καρχηδονίων νῆες χρήσεσθαι. Τιμολέων δὲ νομίσας οὐκ ἀξιόμαχος εἶναι δέκα ταῖς ἑαυτοῦ ναυσὶ πρὸς εἴκοσι τὰς Καρχηδονίων διαναυμαχῆσαι, ἔγνω δεῖν ἀπάτῃ τὸν κίνδυνον ἀποδρᾶναι. καὶ δὴ προσποιησάμενος δέχεσθαι τὰ λεγόμενα, βούλεσθαι μέντοι μετὰ τῆς Ῥηγίνων πόλεως αὐτὰ βεβαιώσασθαι. καὶ τοῦτο ἀξιοῦν καὶ αὐτούς, ἐπειδὴ τούτοις πεισθέντες, οἵ τε Ἱκέτου πρέσβεις, καὶ οἱ Καρχηδονίων ἄρχοντες, παρῆλθον ἐς τὴν Ῥηγίνων ἐκκλησίαν ὑπὲρ αὐτῶν δὴ τούτων, Ῥηγίνων μὲν δὴ οἱ Τιμολέοντι τὴν ἀπόδρασιν συμπράττοντες, ἀρξάμενοι ἐδημηγόρουν παμμήκεις τινὰς λόγους συνείροντες, ἄλλος τε ἄλλῳ παραδιδόντες τὴν δημηγορίαν. Τιμολέων δὲ ἐν τούτῳ λαθών, καὶ ἐκ τῆς ἐκκλησίας ἀποδρὰς ἐς τὰς ἑαυτοῦ ναῦς, ὡς τάχιστα ἀναχθείς, ἀφικνεῖται ἐς Ταυρομένιον, παρὰ Ἀνδρόμαχον. Ἀνδρόμαχος μὲν οὖν, ὥσπερ ἐπεκάλει Τιμολέοντα, οὕτω δὴ ἄσμενος καὶ ὑπεδέδεκτο, τά τε πρὸς τὴν Συρακουσίων τε καὶ τὴν ἄλλης Σικελίας ἐλευθερίαν συνέπραττεν αὐτῷ. Καρχηδόνιοι μέντοι χαλεπαίνοντες ἐπὶ τῷ ἠπατῆσθαί τε καὶ καταστρατηγῆσθαι, πέμπουσι πρεσβευτὴν ἐπὶ τριήρους πρὸς Ἀνδρόμαχον κελεύσοντα ἀποπέμπειν Τιμολέοντα. ὃς ἐλθών, καὶ πολλὰ ὑπερηφάνως καὶ ἀπειλητικῶς διαλεχθείς, τελευτῶν, νῦν μὲν ὑπτίαν τὴν χεῖρα, νῦν δὲ πρηνῆ πεποιηκώς, ἐκέλευσεν ἀποπέμπειν Τιμολέοντα, εἰ βούλοιτο μὴ ἀντὶ τοιαύτης τὴν πόλιν τοιαύτην ἐπιδεῖν. Ἀνδρόμαχος δὲ ἄλλο μὲν εἶπεν οὐδέν, τὴν δὲ χεῖρα καὶ αὐτὸς ὥσπερ ἐκεῖνος, νῦν μὲν ὑπτίαν, νῦν δὲ πρηνῆ πεποιηκώς, ἐκέλευσεν ὡς τάχιστα ἀποπλεῖν, εἰ βούλοιτο μὴ ἀντὶ τοιαύτης τὴν ναῦν τοιάνδε ἐπιδεῖν. Ἱκέτης μὲν οὖν πεπυσμένος τὴν Τιμολέοντος διάβασιν, καὶ ἑτέρας μετεπέμπετο, καὶ συνεκάλει τὰς Καρχηδονίων τριήρεις. τῶν δὲ πόλεων καὶ ἀνθρώπων ἦσαν οἳ καίπερ μισοῦντες τοὺς τυράννους, ὅμως καὶ Τιμολέοντι ἠπίστουν τέως καὶ προὐβάλλοντο, μεμνημένοι Καλλίππου τε τοῦ Ἀθηναίου, καὶ Φαράκου τοῦ Λακεδαιμονίου· οἳ ἑκάτεροι στρατοπέδων τε ἡγούμενοι, καὶ φάσκοντες ἐπ' ἐλευθερίᾳ τῆς Σικελίας ἥκειν, πολὺ ὅμως χείρονε ἑαυτὼ ἀπέδειξαν τῶν ἐπιχωρίων τυράννων·

νων. οὐ μὴν ἀλλ᾽ ἐν τούτῳ ὄντων τῶν πραγμάτων, περὶ τοὶ ἀδρανῖται πόλιν ἔχοντες οὐ μεγάλην, στασιάσαντες ἐν ἀλλήλοις, οἱ μὲν τιμολέοντα ἐκάλουν, οἱ δ᾽ ἱκέτην τε καὶ τοὺς καρχηδονίους. καί πως κατὰ τύχην ἀφικνεῖσθον ἄμφω ἐς τὴν αὐτὴν ἡμέραν τε καὶ περί γε ἡμέρας ὥραν δείλην, ἱκέτης τε καὶ τιμολέων πρὸς τῇ πόλει. τιμολέων μὲν οὐ πλείους διακοσίων καὶ χιλίων ἄγων, ἱκέτης δὲ περὶ πεντακισχιλίους. ἐνταῦθα τιμολέων παρακαλέσας τοὺς ἑαυτοῦ, καίπερ συχνόν γε ὁδοιπορηκότας μὴ μέλλειν, ἀλλ᾽ ἄνδρας τε ἀγαθοὺς γίγνεσθαι, καὶ τοῖς πολεμίοις τηνικαῦτα σκηνοποιουμένοις τε, καὶ κατὰ τὸ εἰκὸς ἀτάκτοις οὖσιν ἐπιτίθεσθαι, χωρεῖ τε ἐπ᾽ αὐτοὺς δρόμῳ. καὶ τρεψάμενος, κτείνει μὲν οὐ πολλῷ πλείους τριακοσίων, ζωγρεῖ δὲ καὶ δὶς τοσούτους. τοὺς δ᾽ ἄλλους αἰσχρῶς ποιήσας φυγεῖν, κρατήσας δὲ καὶ τῆς κατασκευῆς, λαμπρὰν ἀρετῇ νίκην, πλειόνων ἢ πολλαπλασίων οὕτω παρὰ πολὺ κεκρατηκώς. καὶ ἀδρανῖται μὲν εὐθὺς ὑπὸ θαύματος οὐκέτι στασιάζοντες, συγχωρήσαντες δὲ ἀλλήλοις, τὰς πύλας ἀνοίξαντες, δέχονται τῇ πόλει τὸν τιμολέοντα. ἤδη δὲ καὶ αἱ ἄλλαι πόλεις ταύτην πεπυσμέναι τὴν νίκην, διεπρεσβεύοντο πρὸς τιμολέοντα, καὶ παρεδίδοσαν σφᾶς αὐτοὺς ἐς τὴν συμμαχίαν. σὺν αἷς καὶ ὁ κατάνης τύραννος μάμερκος, ἀνὴρ χρήμασί τε δυνατὸς, καὶ τῇ περὶ τὰ πολεμικὰ δεινότητι. ἐν δὲ τούτῳ ὄντων τῶν πραγμάτων, ἤδη καὶ διονύσιος ἀπεγνωκὼς ταῖς ἐλπίσι, καὶ συνορῶν ὡς ἤτοι ὑπὸ ἱκέτου, ἢ αὖ ὑπὸ τιμολέοντος, ἀνάγκη καὶ ἐκπολιορκηθῆναι, ἱκέτου μὲν κρατοῦντος ὑπ᾽ αὐτοῦ ἱκέτου. εἰ δὲ τιμολέων κρατήσει, ὑπὸ τιμολέοντος, ἔγνω δεῖν τιμολέοντί τε καὶ κορινθίοις ἑαυτόν τε παραδιδόναι, καὶ τὴν ἄκραν. ἅμα μὲν καταπεφρονηκὼς ἱκέτου ὡς αἰσχρῶς ἡττημένου, ἅμα δὲ καὶ τιμολέοντι καὶ κορινθίοις πιστεύων ἐς τὴν τοῦ σώματος ἀσφάλειαν, ἢ ἱκέτῃ. καὶ δὴ διαπρεσβευσάμενος πρὸς τιμολέοντα, καὶ τυχὼν τοῦ τε ἐς τὸ σῶμα καὶ τὰ χρήματα, ἃ ἂν ἐπιφέροιτο ἀσφαλείας, οὕτω τὴν ἄκραν ἐκείνῳ παραδίδωσι. καὶ τιμολέων μὲν πέμψας εὐκλείδην καὶ τηλέμαχον, ἄνδρας κορινθίους, καὶ σὺν αὐτοῖς τετρακοσίους στρατιώτας, οὔτι δὴ ἀθρόους, οὐ γὰρ ἐνεχώρει, στρατοπέδων καὶ ἐκ γῆς καὶ ἐκ θαλάττης περικαθημένων, ἀλλὰ κρύφα τε καὶ κατ᾽ ὀλίγους, παραλαμβάνει τὴν ἄκραν, αὐτοῖς στρατιώταις τε τοῖς ἔνδον, καὶ ὅπλοις, καὶ ὅση τις ἄλλη παρασκευὴ ἐς φρουρὰν χρήσιμος ἐνῆν. διονύσιος δ᾽ ἐπὶ νεὼς οὐ μεγάλης μετὰ φίλων τε ὀλίγων, καὶ χρημάτων οὐ πολλῶν ἐκπεπλευκὼς, ἀφικνεῖται ὡς τιμολέοντα, τότε πρῶτον ἰδιώτης ὀφθείς. γεγενημένος μὲν γὰρ ἐν τυραννίδι τῇ ἐπιφανεστάτῃ, δέκα δ᾽ ἔτη μετὰ τὴν τοῦ πατρὸς ἄρξας τελευτὴν, δώδεκα δ᾽ ἄλλα μετὰ τὴν δίωνος στρατείαν, ἐν πολέμοις καὶ μυρίοις κακοῖς διαπεφορημένος, αἰεὶ δὲ τῶν ὑπὲρ τῆς τυραννίδος ἐλπίδων οὐ μεθιέμενος, τότε πρῶτον ὤφθη τάς τε ἐλπίδας μεθεὶς, καὶ ἰδιωτεύσας. τιμολέων μὲν οὖν αὐτὸν ὥσπερ εἶχεν ἐς κόρινθον ἀναπέμπει. ὁ δ᾽ ἐκεῖσε ἀφικόμενος, τὸ λοιπὸν τοῦ βίου ταπεινὰ πράττων διετέλει. καὶ ἐφαίνετό γε οὐδὲ πάνυ τοι ἀγανακτῶν ἐπὶ τῇ τοῦ βίου μεταβολῇ. ἀλλὰ καί ποτε τῷ ἐρωτῶντι ἐπιχλευῇ, τί τῆς πλάτωνος ἀπολαύσειε σοφίας, μῶν οὖν σοι ἔφη οὐδὲν δοκοῦμεν ὑπὸ πλάτωνος ὠφελεῖσθαι, τηλικαύτην οὕτω πράως φέροντες βίου μεταβολήν; ἑτέροις δ᾽ ἐμμελῶς πυνθανομένοις, τί αὐτῷ ἡ πρὸς πλάτωνα ποιήσειε διαφοράν; πολλῶν τὴν τυραννίδα ἔφη κακῶν οὖσαν μεστὴν, οὐδὲν ἔχειν τηλικοῦτον, ὡς τὸ τοὺς δοκοῦντας τῷ τυράννῳ φίλους μὴ μετὰ παρρησίας διαλέγεσθαι. ὑπὸ γὰρ τούτων καὶ αὐτὸς τῆς πρὸς πλάτωνα ἀπεστερῆσθαι εὐνοίας. ἀλλὰ πλάτων διονύσιον ἰδιώτην οὐκ ἐπεῖδεν· ἔφθη γὰρ ἤδη τετελευτηκώς. διονυσίου δὲ κἀκεῖνο χαρίεν, τὸ πρὸς φίλιππον τὸν μακεδόνων βασιλέα. ὅτε γὰρ ἑλλήνων φίλιππος τῇ περὶ χαιρώνειαν μάχῃ κεκρατήκει, ἐπειδὴ καὶ ἐς κόρινθον παρεληλύθει, τὴν ἑλλήνων ἡγεμονίαν περιποιούμενος, παραλαμβάνει παρά τινα πότον καὶ διονύσιον. λόγου δὲ γεγονότος περὶ τῶν διονυσίου τοῦ πρεσβυτέρου ποιημάτων, καὶ φιλίππου πυνθανομένου ἐπιχλευῇ, πηνίκα ὁ πατὴρ αὐτοῦ τοῖς ποιήμασι σχολάζοι; ἡνίκα, ἔφη διονύσιος, καὶ σύ κἀγὼ, καὶ πάντες οἱ μακάριοι δοκοῦντες, περὶ κώθωνά τε καὶ πότους διατρίβωμεν. ἀλλ᾽ ἐπὶ τὰς ἐν σικελίᾳ αὖ πράξεις ἐπανίωμεν. κορίνθιοι μὲν γὰρ ἅμα τῇ διονυσίου ὡς σφᾶς ἀφίξει, καὶ ἄλλην βοήθειαν ἐψηφισμένοι, τιμολέοντι πέμπουσι δισχιλίους μὲν ὁπλίτας, ἱππέας δὲ διακοσίους. οἳ καὶ ἀφιγμένοι ἄχρι θουρίων, οὐκ ἔτι καὶ ἐπὶ σικελίαν διαβαίνειν οἷοί τ᾽ ἦσαν, ὑπὸ πλήθους τῶν καρχηδονίων νεῶν τὴν θάλατταν ἐπ᾽ αὐτοὺς φρουρουσῶν, ὅπως ἐκεῖνοι μὴ διαβαῖεν κωλυόμενοι. καὶ δὴ οἱ μὲν περιέμενον αὐτοῦ ἐν θουρίοις, εἴ ποτέ που ἀπροσδοκήτου συμβάντος, ἐς σικελίαν διαβαῖεν. τιμολέων δὲ τὴν ἄκραν περὶ διονυσίου σίτου σπανίζουσαν παρειληφὼς, αὐτὸς εἰσέπεμπεν ἐκ

κατάνης

κατάνης οὐ μεγάλοις τισὶ πλοίοις, ὅπως καὶ μᾶλλον λανθάνοιεν. χαλεπῶς μὲν οὖν καὶ παρακινδύ-
νως ἐσεπέμπετο ὁ σῖτος, διὰ τὰς τῶν συρακουσίων τριήρεις· ὅμως μέντοι ἐσεπέμπετο. ἐν δὲ τού-
τοις, τοῦ χρόνου τριβομένου, τάδε ὀψέ ποτε εὐτυχήματα τιμολέοντί τε καὶ κορινθίοις συνέπεσε
γενέσθαι. οἱ μὲν γὰρ ἐν θουρίοις κορίνθιοι, ἀχθεσθέντες τῇ ἐν τῷ αὐτόθι ἕδρᾳ, ἔγνωσαν πεζῇ πορευ-
θέντες, ἐν ῥηγίῳ γενέσθαι. ὅθεν ἂν ἴσως ῥᾷον διαβαῖεν, διὰ τὸ στενὸν τοῦ πορθμοῦ. καὶ δὴ ἀπολιπόν-
τες τὰ οἴκοθεν πλοῖα πεζῇ ἐχώρουν εἰς ῥήγιον. οἷς μεταξὺ προσετυγχάνοιεν βαρβάροις, παρω-
μένοις μὲν τὴν δίοδον κωλύειν, μαχόμενοί τε καὶ νικῶντες· τοῖς δ' ἄλλοις, σπενδόμενοι. ἅμα δὲ
καὶ ὁ τῶν καρχηδονίων νεῶν ναύαρχος, τὴν ἐκείνων διάβασιν φυλάττουσῶν, ἀχθεσθεὶς καὶ αὐτὸς
τῇ προσεδρίᾳ τῆς φυλακῆς, ἀσπίσι τε ἑλληνικαῖς, καί τισι καὶ ἄλλοις ὅσοις εὐπόρησεν ὅπλοις τὰς
ναῦς κεκοσμηκώς, ᾤχετο ἐπὶ συρακούσας, διαθρυλλῶν ὡς εἶλοι τοὺς κορινθίους περαιουμένους κατὰ
θάλατταν, σοφόν τι τοῦτο οἰηθεὶς ἐπινενοηκέναι, καὶ ἀθυμίαν τοῖς ἐν σικελίᾳ κορινθίοις οὐ μικρὰν ἐμ-
βαλεῖν, καίπερ οὐδ' ἂν ἐπὶ πολὺ μενοῦσαν, ἀλλ' ὡς τάχιστα παυσομένην, ψευδοῦς τῆς φήμης παρα-
χρῆμα ἐλεγχθησομένης. οἱ μέντοι ἐν ῥηγίῳ γεγονότες κορίνθιοι, κατὰ πολλὴν ἤδη ἄδειαν διέ-
βαινον ἐς σικελίαν, μικροῖς τισι πορθμείοις. καὶ εὐθὺς μὲν καὶ μεσσήνην τιμολέων εἶχε, πόλιν οὐ φαύ-
λην τῆς σικελίας κειμένην πρὸς τῷ πορθμῷ. τοῦτο μὲν δὴ τοιοῦτον ἐγένετο. ὁ δ' ἱκέτης ἔτυχε μὲν καὶ
πρότερον ἐπιβουλήν τινα ἐπιβεβουλευκὼς τιμολέοντι, καὶ ἀποτετυχηκώς. ἦν δὲ ἡ ἐπιβουλὴ τοιάδε.
δύο τινὲ ξένω κατεσκευακώς, ὑπέπεμψε τιμολέοντι, ἀποκτενοῦντέ τε τὸν ἄνδρα. ὃ καὶ ἀφικομένω
ἐς ἀδρανόν, οὗ τότε ἔτυχε τιμολέων διατρίβων, ἐπεὶ ἐπυθέσθην θυσίαν τινὰ μέλλοντα αὐτὸν θύειν,
ἐγνωκέτην παρ' αὐτὴν τὴν θυσίαν αὐτῷ ἐπιχειρεῖν. καὶ δὴ τῆς θυσίας ἐνεστώσης, ἐπειδὴ ἀναμιχθέν-
τε τοῖς πολλοῖς τοῖς ἀμφὶ τὴν θυσίαν, ἀλλήλοιν ἤδη παρεκελευέσθην ὅσον οὔπω ἔχεσθαι τοῦ ἔργου, παίει
τις αὐτοῖν τὸν ἕτερον κατὰ τῆς κεφαλῆς ξίφει. καὶ ὁ μὲν ἔκειτο. ὁ δὲ παίσας ἐκδραμὼν εὐθὺς οὕτως
ὡς εἶχε σὺν τῷ ξίφει, ἐπί τινα ὑψηλὴν πέτραν ἀνεπήδησεν. ὁ δ' αὖ ἕτερος τοῖν ἐπὶ τῷ τιμολέον-
τι ἡκόντοιν, πεπτωκότος τοῦ κοινωνοῦ, προσδραμὼν εὐθὺς τῷ βωμῷ, ἄδειαν ἐκεῖθεν ᾔτει, ἐπὶ τῷ
μηνῦσαι πᾶν τὸ ἀτρεκές. ὃς καὶ τυχὼν, μηνύει κατά τε ἑαυτοῦ, καὶ τοῦ τεθνηκότος, ὅπως δὴ ὑπὸ
ἱκέτου κατεσκευασμένοι, ἱκέτην τιμολέοντα ἀποκτενοῦντε δόλῳ. ἐν δὲ τούτῳ καὶ τὸν ἕτερον ἀπε-
κτονότα κατῆγον ἄλλοι, βοῶντα ὡς οὐκ ἀδικεῖ. τῷ γὰρ πατρὶ ἑαυτοῦ τιμωρῶν, τὸν ἄνθρωπον ἀ-
πεκτονέναι, ὅν ποτε ἐκεῖνος ἐν λεοντίνοις ἀπεκτόνει. καί τινας καὶ τῶν παρόντων μαρτυροῦντας
εἶχεν, ἐφ' οἷς πάντες μὲν οἱ παρόντες τῆς τύχης ἐθαύμαζον τὸ εὐμήχανον, ὅπως δι' ἑτέρων ἕτερα
κατασκευάζει, εἰς ταυτόν τι συνάγουσα τὰ μὴ μικρῷ ἀλλήλων ἀπηλλοτριωμένα. οἱ δὲ κορίν-
θιοι, καὶ ἐστεφάνωσαν δέκα μναῖς τὸν ἄνθρωπον, ὅτι τῷ πατρὶ δικαίως τιμωρῶν, καὶ τιμολέοντα
σφίσι περιέσωσεν. ὁ δ' ἱκέτης τοῦτο οὐ μόνον ἀποτυχὼν, ἀλλὰ καὶ δόξαν παρὰ σικελιώταις μείζω
περιθεὶς τιμολέοντι, ὡς ἀνὴρ εἴη θεοφιλὴς, ἑτέρῳ αὖ ἔργῳ ἐνεχείρησεν, ὑφ' οὗ καὶ αὐτοῦ τὰ ἑλλήνων
πράγματα ὤνησεν. ὀργιζόμενος γὰρ μάρκῳ, καὶ τοῖς καταναίοις, ὅτι δὴ αὐτοῦ τοῖς ἐν τῇ ἄκρᾳ ὁ σῖ-
τος ἐσεπέμπετο, πείσας μάγωνα, στρατεύει ἐπὶ κατάνην τῷ πλείονι τῆς δυνάμεως, δίκας
ληψόμενος, ὧν τιμολέοντι καὶ κορινθίοις ἐπολέμουν. ἐν δὲ τούτῳ νέων ἀνὴρ κορίνθιος, ὃν τιμο-
λέων μετὰ τὴν τῆς ἄκρας παράληψιν τοῖς ἐκεῖ ἄρχοντα ἐσέπεμψε, τοῖς ἐν τῇ πόλει ὑπὸ ἱκέτου ὑ-
πολελειμμένοις ἐξαίφνης ἐπιπεσὼν, ἐκράτησέ τε, καὶ κατασχὼν τὴν καλουμένην ἀχραδινὴν, μέ-
ρος οὖσαν τῆς πόλεως τὸ κράτιστον, ἰδίῳ τε περιησφαλισμένην τείχει, οὐκ ἔτι δὴ μεθίει. ἱκέτης δὲ
καὶ μάγων, πυθόμενοι τὸ γεγονὸς, κατὰ τάχος εἰς συρακούσας αὖθις ἐπανεχωρείτην, οὔτε ἐπὶ κα-
τάνην πράξαντε οὐδὲν, καὶ συρακουσῶν τὸ κράτιστον ἀποβαλόντε, οὐδ' ἰσχύσαντε οὐδ' ἔτι ἐπανα-
λαβεῖν, ἤδη δὲ καὶ τῶν ἐν ῥηγίῳ γεγονότων κορινθίων διαβεβηκότων εἰς σικελίαν, ἐπὶ συρακούσας ἐλ-
θὼν, στρατοπεδεύεται πρὸς τῇ πόλει, οὐ πλείους ἢ τετρακισχιλίους ἀγαγὼν ἐπὶ πολλαπλασίους
τοὺς μετὰ τοῦ ἱκέτου, τῇ μὲν δὴ ἀρετῇ αὐτοῦ καὶ τύχῃ πεποιθώς. ἐνταῦθα τῶν τιμολέοντος μισθοφό-
ρων ἐν τινι σχολῇ τοῖς ἱκέτου μισθοφόροις ἀναμιγνυμένων ἑλλήνων ἕλλησι, καὶ μάλιστα περὶ τὴν
τῶν ἐγχέλεων θήραν τῶν ἐν τοῖς ἕλεσι τοῖς πρὸ τῆς πόλεως, καί τινος τῶν τιμολέοντος μισθοφόρων, ὡς
ἀδικεῖ ἱκέτης οὐ τιμολέοντι συμβαίνων, ὑφ' οὗ καὶ τιμῆς ἂν ἔτυχεν οὐ μεμπτῆς, τοὺς βαρβάρους τού-
τους ἀποπεμψάμενος, ἀλλ' ὀλεθρίοις ἀνθρώποις τοῖς καρχηδονίοις δὴ τοῖς καταδουλῶν τοιαύ-
την πόλιν. ὁ λόγος οὗτος διαθρυλλούμενος, πᾶσαν ἐπῄει τὴν πόλιν. καὶ δὴ καὶ μάγων ταῦτα πε-

πυσμένος. ἐν νῷ δὲ λαβὼν καὶ τῆς Ἀχραδινῆς ὑπὸ Νέωνος ἅλωσιν, καὶ οἰηθεὶς κἀκεῖνος προδοσίᾳ τινὶ γεγονέναι, καὶ τότε αὐτὰ πάντα πράγματα προδίδοσθαι ὑποπτεύσας, δείσας δὲ καὶ περὶ ἑαυτῷ ὑπὸ ἀνανδρίας, καίπερ τοσούτῳ πεφραγμένος τῷ ἐκ τῆς πατρίδος στόλῳ, ἄρας ὅλοις ἱστίοις, εὐθὺ Καρχηδόνος ἔπλει. οἷ δὴ ἀφιγμένος, ἐπειδὴ αὐτὸν ἐνόουν εἰς δίκην ὑπάγειν λόγον ἀπαιτοῦντα τῆς στρατηγίας, ὁ μὲν τὴν δίκην φθάσας, ἑαυτὸν ἀναιρεῖ. Καρχηδόνιοι γε μὴν καὶ τεθνεῶτος, οὕτω τὸ σῶμα ἀνεσκολόπισαν. Ἱκέτης μέντοι Συρακούσαις μένων, καίπερ Μάγωνος ἐρημωμένος, τέως μὲν τῆς πόλεως εἴχετο. ἐπεὶ δ' ἐνθένδε μὲν Τιμολέων ἁπάσῃ προθυμίᾳ προσέβαλε τοῖς τείχεσι, Νέων δ' ἐκ τῆς Ἀχραδινῆς ἐπεξῄει, οὕτω δὴ λιπὼν τὴν πόλιν, εἰς Λεοντίνους ἀπεχώρησε. Τιμολέων δ' ἑλὼν τὴν πόλιν, τήν τε ἐλευθερίαν Συρακουσίοις ἀπεδίδου, καὶ τὴν ἀκρόπολιν, καὶ τὰ τυραννεῖα τῆς γε πολυτελείας οὐ φεισάμενος κατέσκαψε, πᾶσαν ὑποψίαν τοῦ τυραννεύσειν αὖ τῆς πόλεως ἐξαιρῶν. ὁρῶν δὲ τὴν πόλιν ἐκ πολυανθρωποτάτης, ἐς δεινήν τινα ὀλιγανθρωπίαν ὑπερρυηκυῖαν, τῶν ἀνθρώπων ἔστι μὲν ὧν καὶ ἐν ταῖς στάσεσί τε καὶ πολέμοις ἀπανηλωμένων, τῶν δὲ πολλῶν διὰ τὰς τυραννίδας ἄλλων ἄλλοσε πεφευγότων, πείθει Συρακουσίους πρεσβείαν πέμψαντας ἐς Κόρινθον, δεῖσθαι τῆς μητροπόλεως ἐπιμεληθῆναί τε τῶν ἀρέκων, καὶ οἰκιστὰς ὥσπερ ἐξ ἀρχῆς γενέσθαι, καὶ δὴ τῆς πρεσβείας ἀφιγμένης εἰς Κόρινθον, Κορίνθιοι μὲν πέμποντες κατὰ πάσας τὰς τῆς Ἑλλάδος πόλεις, καὶ πανηγύρεις τὰς ἱεράς, καὶ νήσους, ἐκήρυττον ὅτι Κορίνθιοι καταλύοντες τοὺς Συρακουσίων τυράννους, καὶ τοῖς πολίταις ἀποδιδόντες τὴν ἐλευθερίαν, συγκαλοῦσι καὶ τοὺς φεύγοντας Συρακουσίων, τὴν πατρίδα ἐλευθέραν τοῦ λοιποῦ οἰκήσοντας. συνιόντων οὖν αὐτῶν ἁπάντων εἰς Κόρινθον, ἐπεὶ οὔπω ἱκανὸν ἐδόκει τὸ συνεληλυθὸς πλῆθος, ἐπεκήρυττον, καὶ ἔκ τε Κορίνθου καὶ τῆς ἄλλης Ἑλλάδος τὸν βουλόμενον ἰέναι εἰς Συρακούσας, ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ μεθέξοντα τῆς πόλεως. καὶ δὴ οὕτως ἀξίου λόγου συνηθροισμένου πλήθους, ἔστελλον ἤδη Κορίνθιοι εἰς Συρακούσας τοὺς συνεληλυθότας. συνέπεμπον δ' αὐτοῖς καὶ Κέφαλον, καὶ Διόνυσον, ἄνδρε Κορινθίω συλληψομένω Τιμολέοντι τὰ περὶ τὴν τῆς πολιτείας κατάστασίν τε, καὶ νομοθεσίαν. ἡκόντων δὲ καὶ ἐξ Ἰταλίας ἄλλων οὐκ ὀλίγων, ὁ Τιμολέων τὴν μὲν χώραν ἅπασι διένειμε, τὰς δ' οἰκίας χρημάτων ἀπεδίδου, εὐπορίαν τῷ κοινῷ τῶν Συρακουσίων μηχανώμενος ταμιείῳ, ἔς τε ἄλλα χρημάτων δεομένῳ, καὶ μάλιστα ἐς τὸν προσδοκώμενον πόλεμον τῆς πόλεως, ὡς τοὺς Καρχηδονίους ἀγγελλομένους αὖθις σὺν μεγάλῳ ἰέναι στόλῳ ἐπί τε Συρακούσας καὶ Σικελίαν τὴν ἄλλην. ἀπεδίδοντο δὲ καὶ οἱ ἀνδριάντες κατακοπτόμενοι, οἵ τε τῶν τυράννων καὶ φίλων αὐτῶν, κατηγορίας ἐφ' ἑκάστῳ γινομένης, καὶ τοῦ δήμου ψηφιζομένου· Γέλωνα μέντοι τὸν παλαιὸν ἀγάμενοι τῆς νίκης, ἣν Καρχηδονίους ἐνίκησε πρὸς Ἱμέρᾳ, τότε πρῶτον τῆς Σικελίας ἁπάσης καταδουλώσεως πειρωμένους, καὶ τἆλλα οὐ μοχθηρόν τινα ἀκοῇ εἰδότες τύραννον, ἐφείσαντο καὶ τοῦ ἀνδριάντος. μετὰ δὲ ταῦτα ἔγνω δεῖν πρότερον τοὺς τυράννους, καὶ τῆς ἄλλης Σικελίας καταλῦσαι, πρὶν Καρχηδονίους αὐτόσε εἰς Σικελίαν καταπλεῦσαι. ἐξεστρατευμένος οὖν εὐθὺς εἰς Λεοντίνους, ἀναγκάζει Ἱκέτην Καρχηδονίων ἀποστάντα, ὁμολογῆσαι τάς τε ἀκροπόλεις καθελεῖν, καὶ ἰδιωτεύσειν αὐτὸν μένοντα ἐν Λεοντίνοις. μετὰ δὲ ἐπὶ Λεπτίνην στρατεύσας, Ἀπολλωνίας τε καὶ συχνῶν ἄλλων πολιχνίων τυραννοῦντα, ὡς κινδυνεύων κατὰ κράτος ἁλῶναι, ἑαυτὸν παραδεδώκει. ὁ δὲ φεισάμενος εἰς Κόρινθον ἀπέστειλεν. ἔπειτα αὐτὸς μὲν εἰς Συρακούσας ἐπανῄει, τῇ τῆς πολιτείας καταστάσει ἤδη προσέξων. τοὺς δὲ μισθοφόρους οὐ βουλόμενος ἀργεῖν, σὺν Δημάρχῳ τε καὶ Δημαράτῳ, εἰς τὴν Καρχηδονίων ἐπικράτειαν ἐξέπεμψεν. ὅθεν ληϊζομένοις αὐτοῖς τε ὑπῆρχεν ἐν ἀφθονίᾳ ζῆν, καὶ ἅμα χρημάτων εὐπορία εἰς τὸν πόλεμον προσεγίγνετο, ἀποδιδομένων τῶν ἁλισκομένων. ἐν δὲ τούτῳ ἀγγέλλονται Καρχηδόνιοι καταπεπλευκότες εἰς Λιλύβαιον, ὅ ἐστι τῆς Σικελίας τὸ πρὸς Λιβύην τεῖνον ἄκρον. ἡ μὲν οὖν σύμπασα στρατιά, περὶ ἑπτὰ μυριάδας ἐλέγετο εἶναι. ἦσαν γε μὴν τριήρεις μὲν διακόσιαι, πλοῖα δ' ἄλλα χίλια ἐλέγετο, ἅμα τε κομίζοντα τῶν πρὸς τὸν πόλεμον ἐπιτηδείων, καὶ σῖτον ἄφθονον. στρατηγὼ δὲ τῆς δυνάμεως ἁπάσης Ἀσδρούβας τε ἤστην, καὶ Ἀμίλκας. οὗτοι μὲν οὖν εὐθὺς πεπυσμένοι τὴν ἐπικράτειαν σφῶν πεπορθῆσθαι, ὀργῇ ἐχώρουν πρῶτον ἐπὶ τοὺς πορθοῦντας. εἰς δὲ Συρακούσας τῆς ἀγγελίας ἀφιγμένης, οὕτω Συρακούσιοι πρὸς τοῦ στόλου τὸ μέγεθος καταπεπλήγεσαν, ὥστε Τιμολέοντι ἐγνωκότι δεῖν ἐπὶ τοὺς πολεμίους κατὰ τάχος χωρεῖν, ὡς ἐν τῇ ἐκείνων ἐπικρατείᾳ τὸν πόλεμον συνάψοντι,

ψοντι, καὶ μὴ περιμένειν τὴν ἄλλην καταδουλωσαμένους Σικελίαν, καὶ ἐπὶ Συρακούσας ἥκειν, μόγις τρισχιλίους τὰ ὅπλα λαβόντας, συνελθεῖν ἐκ μυριάδων οὐκ ὀλίγων. ἦσαν δ' αὐτῷ καὶ οἱ μισθοφόροι τετρακισχίλιοι. καὶ τούτων ὡς χίλιοι καθ' ὁδὸν ἀποδειλιάσαντες, ἀπεστράφησαν, ὥστε τοὺς πάντας ἑξακισχιλίους περὶ Τιμολέοντι περιλειφθῆναι, ὧν χίλιοι ἱππεῖς ἦσαν. οὓς παρακαλέσας τε καὶ ἐπιρρώσας ἐπὶ τοὺς πολεμίους, κατὰ τάχος ᾔει ἐπὶ τὸν ποταμὸν Κριμισσόν, οὗ αὐτοὺς συνάπτειν ἤδη ἐπυνθάνετο. καὶ δὴ ἡ μὲν τοῦ ἔτους ὥρα, τοῦ ἦρος ἦν αὐτὸ τὸ πρὸς θέρος ἤδη. ὁμίχλην μέντοι ὁ Κριμισσὸς βαθεῖαν τινα ἀναδιδοὺς, οὔτ' αὐτὸς φανερὸς ἦν, οὔτε τοὺς πολεμίους εἴα διαφαίνεσθαι. βοὴ δέ τις μόνον σύμμικτος φερομένη, αἴσθησιν αὐτῆς τῆς παρουσίας τοῖς Ἕλλησι παρεῖχεν ἐκ τινος λόφου κατακούουσιν. οὗ τὴν πορείαν ἐπιστήσαντες, διανεπαύοντο. ὡς δ' ἡ ὁμίχλη μετεωριζομένη, κατενέφωσε μὲν τὰς ἀκρωρείας, τὸ δὲ πεδίον ἀνεκάθηρεν, ὁρῶσι τοὺς πολεμίους διαβαίνοντας ἤδη τὸν Κριμισσόν. μείνας οὖν ὁ Τιμολέων ἄχρι τοσούτους διαβῆναι, ὅσοις ἐθάρρησε διαμαχέσασθαι, καὶ ἔπειτα ἐμβαλὼν αὐτοῖς, κατακόπτει μὲν τοὺς πρώτους, Καρχηδονίους ὄντας. τὸ δ' ἄλλο πλῆθος, ἠνάγκασε φυγεῖν αἰσχρῶς. καὶ νίκην αἱρεῖται καλλίστην, πλείστους ὀλιγίστοις στρατιώταις νικήσας.

ΓΕΩΡΓΙΟΥ ΓΕΜΙΣΤΟΥ ΕΛΛΗΝΙΚΩΝ ΠΡΩΤΟΝ.

# ΓΕΩΡΓΙΟΥ ΓΕΜΙΣΤΟΥ, ΤΟΥ ΚΑΙ ΠΛΗΘΩΝΟΣ,

## ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Περὶ δὲ τὴν ἕκτην καὶ ἑκατοστὴν ὀλυμπιάδα, Ἀλέξανδρος ὁ Φερραίων τύραννος, ὑπὸ γυναικὸς τῆς ἑαυτοῦ Θήβης, καὶ τῶν ταύτης ἀδελφῶν Λυκόφρονος καὶ Τισιφόνου, ἀνῃρέθη. οἳ τὰ μὲν πρῶτα εὐδοκίμουν παρὰ τοῖς Θετταλοῖς, ἅτε δὴ τυραννοκτόνοι. μετὰ δὲ ταῦτα, τοὺς Ἀλεξάνδρου δορυφόρους ἑαυτοῖς συστησάμενοι, τυράννους τε ἑαυτοὺς ἀνέδειξαν καὶ πολλοὺς τῶν σφίσιν ἀντιπραττόντων ἀνῄρουν. οἱ δ' Ἀλευάδαι καλούμενοι, ἀξίωμα ἔχοντες ἐν τοῖς Θετταλοῖς δι' εὐγένειαν, Φίλιππον τὸν Μακεδόνων βασιλέα ἐπαγόμενοι, κατεπολέμησάν τε τοὺς τυράννους, καὶ τὴν ἐλευθερίαν ταῖς πόλεσιν ἀποκατέστησαν. ἀφ' οὗ καὶ Φίλιππος τοὺς Θετταλοὺς πρώτους Ἑλλήνων, εἰς εὔνοιαν ἑαυτῷ προσέλαβε. μετ' οὐ πολὺ δὲ τῆς Ἀλεξάνδρου ἀναιρέσεως, καὶ ὁ ἱερὸς κληθεὶς ἐν τῇ Ἑλλάδι συνέστη πόλεμος. συνέστη δὲ Φωκέων κατειληφότων τὸ ἱερὸν τὸ ἐν Δελφοῖς διὰ Φιλομήλου, ὃς στρατηγὸς σφίσιν ἐψήφιστο αὐτοκράτωρ. καὶ καταλαβὼν τὸ ἱερὸν, Δελφῶν τε ἀπεκτονὼς τοὺς ἀντιστάντας, ἔχων στρατιώτας Φωκέων τε αὐτῶν μοῖραν, καὶ ξένους μισθοφόρους, τοῦ ἱεροῦ ἐκράτει. πρὸς ὃ κινηθέντες Λοκρῶν πρῶτον οἱ πλησιόχωροι, ἔπειτα καὶ Θηβαῖοι, οἳ καὶ μάλιστα προὔστησαν τοῦ πολέμου τούτου, ἐπολέμουν Φωκεῦσι, συλλαμβανόντων τοῦ πολέμου τούτου αὐτοῖς μὲν Θηβαίοις Λοκρῶν ἀμφοτέρων, καὶ Δωριέων, καὶ Αἰνιάνων, καὶ Ἀθαμάνων, καὶ Δολόπων, καὶ Θετταλῶν τῶν πλείστων. τοῖς δὲ Φωκεῦσι Λακεδαιμονίων τε καὶ Ἀχαιῶν τῶν ἐν Πελοποννήσῳ, καὶ Ἀθηναίων. Φιλόμηλος μὲν οὖν τὰ μὲν πρῶτα ἐκράτει τῷ πολέμῳ. ὕστερον δὲ Θηβαίων φιλοτιμότερον πρὸς αὐτὸν ἠγωνισμένων, ἡττήθη τε. καὶ περιεχόντων αὐτὸν τῶν πολεμίων ἔν τινι ἀποκρήμνῳ χωρίῳ, ἵνα μὴ ζωγρείᾳ ἁλῷ, κατεκρήμνισεν ἑαυτόν. ὁ δὲ τὰ δευτερεῖα τῆς στρατηγίας ἔχων Ὀνόμαρχος, τὴν ἡγεμονίαν διαδεδεγμένος, ἀνελάμβανε τοὺς ἀπὸ τῆς τροπῆς. ἅμα δὲ τούτοις πραττομένοις, καὶ Φίλιππος ὁ Μακεδόνων βασιλεὺς, Μεθώνην μὲν ἐκπολιορκήσας, καὶ διαρπάσας, κατέσκαψε. Παγασὰς δ' ἑλὼν, ὑπήκοον ἑαυτῷ τὴν πόλιν κατέσχε. Φωκεῦσι δὲ βουλευομένοις μετὰ τῶν συμμάχων περὶ τοῦ πολέμου, ἔδοξε μὴ μεθιέναι τὸ ἱερόν. καὶ δὴ Ὀνόμαρχον στρατηγὸν αὐτοκράτορα ἑλόμενοι, εἶχοντο τοῦ πολέμου. Φιλόμηλος μὲν οὖν